Ο Ρ ΘΘ Ρ Ο Σ

2026
Volume A

Grateful acknowledgement is made to:

Senior Editor:
+Reverend Dr. George Karahalios
Reverend Peter G. Salmas
Rev. Haralambos Fox
Konstantine Salmas

Staff:
+Rev. Vasilios Thanos
John F. Harriman Ph. D.
Maria Ilias
Judit Sidlo

The Septuagint Psalms
Alleluia Press
Narthex Press

The English Text of Septuagint Psalms is in the authorized version
by Jose M. de Vinck and Leonidas C. Contos

NARTHEX PRESS
1025 ALAMEDA DE LAS PULGAS, BOX 213
BELMONT, CA 94002-1635

ORTHROS 2026 VOLUME A

Printed in the United States of America

ΙΕΡΑ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΟΡΘΡΟΥ

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

(Ἀπὸ 12ης Ἀπριλίου μεχρίς 20ης Μαΐου 2026 ἴδετε σελ. 18)

ΨΑΛΤΗΣ: Ἀμήν.

ΙΕΡΕΥΣ: Δόξα Σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα Σοι.

Βασιλεῦ οὐράνιε, Παράκλητε, τὸ Πνεῦμα τῆς ἀληθείας, ὁ πανταχοῦ παρὼν καὶ τὰ πάντα πληρῶν, ὁ θησαυρὸς τῶν ἀγαθῶν καὶ ζωῆς χορηγός, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ καθάρισον ἡμᾶς ἀπὸ πάσης κηλῖδος, καὶ σῶσον, Ἀγαθέ, τὰς ψυχὰς ἡμῶν.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. *(3)*

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

THE HOLY OFFICE OF ORTHROS

PRIEST: Blessed is our God, now and always, and forever and ever.

(From the 12th of April until May 20, 2026 please go to page 18)

CANTOR: Amen.

PRIEST: Glory to You, Christ our God, and our hope, glory to You.

Heavenly King, Comforter, the Spirit of truth, everywhere present and filling all things, Treasury of blessings and Giver of Life, come and dwell in us; cleanse us of every stain and save our souls, gracious One.

READER: Amen. Holy God, Holy Mighty, Holy Immortal, have mercy on us. *(3)*

Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

All Holy Trinity, have mercy on us. Lord, be gracious to us in our sins. Master, forgive our transgressions. Holy One, consider our weaknesses and heal them, for Your Name's sake.

Lord, have mercy. Lord, have mercy. Lord, have mercy.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου· Ἐλθέτω ἡ βασιλεία σου· Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Our Father, who art in heaven, hallowed be Thy Name. Thy kingdom come, Thy will be done, on earth as it is in heaven. Give us this day our daily bread. And forgive us our trespasses as we forgive those who trespass against us. And lead us not into temptation, but deliver us from evil.

ΙΕΡΕΥΣ: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις, καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

PRIEST: For Yours is the kingdom, and the power, and the glory, of the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν. Σῶσον, Κύριε, τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

READER: Amen. Lord, save Your people and bless Your inheritance, granting victory to the Faithful over adversaries and protecting Your commonwealth by Your Cross.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Glory to the Father, and the Son, and the Holy Spirit.

Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ ἑκουσίως, τῇ ἐπωνύμῳ σου καινῇ πολιτείᾳ, τοὺς οἰκτιρμούς σου δώρησαι, Χριστὲ ὁ Θεός· εὔφρανον ἐν τῇ δυνάμει σου, τοὺς πιστοὺς βασιλεῖς ἡμῶν, νίκας χορηγῶν αὐτοῖς, κατὰ τῶν πολεμίων· τὴν συμμαχίαν ἔχοιεν τὴν σὴν ὅπλον εἰρήνης, ἀήττητον τρόπαιον.

Lifted up on the Cross by Your free will, Christ God, grant mercies to the new commonwealth that bears Your name. Gladden our faithful rulers by Your power, giving them victory over their adversaries. May Your alliance be for them a weapon for peace, an invincible standard.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Now and always, and forever and ever. Amen.

Προστασία φοβερὰ καὶ ἀκαταίσχυντε, μὴ παρίδῃς, Ἁγαθή, τὰς ἱκεσίας ἡμῶν, πανύμνητε Θεοτόκε· στήριξον Ὀρθοδόξων πολιτείαν, σῶζε οὕς ἐκέλευσας βασιλεύειν, καὶ χορήγει αὐτοῖς οὐρανόθεν τὴν νίκην, διότι ἔτεκες τὸν Θεόν, μόνη εὐλογημένη.

Awesome and unfailing protection, do not spurn our supplications, gracious and all-praised Theotokos. Uphold the Orthodox commonwealth, preserve those you have called to govern, and grant them victory from on high; for you, the only blessed One, gave birth to God.

ΙΕΡΕΥΣ: Ἐλέησον ἡμᾶς, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, δεόμεθά σου, ἐπάκουσον καὶ ἐλέησον.

PRIEST: Have mercy on us, O God, according to Your great mercy; we pray to You, hear us and have mercy.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον. *(3)*

CANTOR: Lord, have mercy. *(3)*

ΙΕΡΕΥΣ: Ἔτι δεόμεθα ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν.

PRIEST: Again let us pray for all devout and Orthodox Christians.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον. *(3)*

CANTOR: Lord, have mercy. *(3)*

ΙΕΡΕΥΣ: Ἔτι δεόμεθα ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν *(N.)*, καὶ πάσης τῆς ἐν Χριστῷ ἡμῶν ἀδελφότητος.

PRIEST: Again, we pray for our Archbishop *(N.)*, and all our Brotherhood in Christ.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον. *(3)*

CANTOR: Lord, have mercy. *(3)*

ΙΕΡΕΥΣ: Ὅτι ἐλεήμων καὶ φιλάνθρωπος Θεὸς ὑπάρχεις, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

PRIEST: For You are a merciful and loving God, and to You we give glory, to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever.

ΨΑΛΤΗΣ: Ἀμήν. Ἐν ὀνόματι Κυρίου, εὐλόγησον, Πάτερ.

CANTOR: Amen. In the Name of the Lord, Father, give the blessing.

ΙΕΡΕΥΣ: Δόξα τῇ ἁγίᾳ καὶ ὁμοουσίῳ καὶ ζωοποιῷ καὶ ἀδιαιρέτῳ Τριάδι, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΨΑΛΤΗΣ: Ἀμήν.

Ο ΕΞΑΨΑΛΜΟΣ

ΑΝΑΓΝΩΣΤΗΣ: Δόξα ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία. *(3)*

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου. *(2)*

ΨΑΛΜΟΣ γ΄ (3)

-Κύριε, τί ἐπληθύνθησαν οἱ θλίβοντές με; Πολλοὶ ἐπανίστανται ἐπ᾽ ἐμέ·
-πολλοὶ λέγουσι τῇ ψυχῇ μου· οὐκ ἔστι σωτηρία αὐτῷ ἐν τῷ Θεῷ αὐτοῦ.

-Σὺ δέ, Κύριε, ἀντιλήπτωρ μου εἶ, δόξα μου καὶ ὑψῶν τὴν κεφαλήν μου.

-Φωνῇ μου πρὸς Κύριον ἐκέκραξα, καὶ ἐπήκουσέ μου ἐξ ὄρους ἁγίου αὐτοῦ.

-Ἐγὼ δὲ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.
-Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ, τῶν κύκλῳ συνεπιτιθεμένων μοι.

PRIEST: Glory to the Holy, and Consubstantial, and life-giving, and undivided Trinity, always, now and forever and ever.

CANTOR: Amen.

THE SIX PSALMS

READER: Glory to God in the highest, and on earth, peace, good will to men. *(3)*

O Lord, open my lips, and my mouth shall show forth Your praise. *(2)*

PSALM 3

-O Lord, why do so many taunt me? Many are those who rise up against me;
-Many who say to me "there is no salvation for him in his God."

-But you, O Lord, are a shield around me, my glory: the one who lifts up my head.

-I cried out to the Lord in a loud voice, and from his holy mountain he heard me.

-As for me, I lay down and slept. Then I awoke, for the Lord will be my help.

-I will not fear ten thousand people arrayed against me all around.

-Ἀνάστα, Κύριε, σῶσόν με, ὁ Θεός μου, ὅτι σὺ ἐπάταξας πάντας τοὺς ἐχθραίνοντάς μοι ματαίως, ὀδόντας ἁμαρτωλῶν συνέτριψας.

-Arise, O Lord, and save me, my God! For you have stricken all who hated me without cause; you have shattered the sinners' teeth.

-Τοῦ Κυρίου ἡ σωτηρία, καὶ ἐπὶ τὸν λαόν σου ἡ εὐλογία σου.

-This deliverance is the Lord's. Upon your people be your blessing!

-(Καὶ πάλιν)
-Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα· ἐξηγέρθην, ὅτι Κύριος ἀντιλήψεταί μου.

(Again)
-As for me, I lay down and slept. Then I awoke, for the Lord will be my help.

ΨΑΛΜΟΣ λζ΄ (38)

PSALM 37 (38)

-Κύριε, μὴ τῷ θυμῷ σου ἐλέγξῃς με, μηδὲ τῇ ὀργῇ σου παιδεύσῃς με.
-Ὅτι τὰ βέλη σου ἐνεπάγησάν μοι, καὶ ἐπεστήριξας ἐπ᾽ ἐμὲ τὴν χεῖρά σου.

-O Lord, in your anger rebuke me not, chastise me not in your wrath.
-Your arrows have bored into me, and your hand weighs heavily upon me.

-Οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου, ἀπὸ προσώπου τῆς ὀργῆς σου· οὐκ ἔστιν εἰρήνη ἐν τοῖς ὀστέοις μου ἀπὸ προσώπου τῶν ἁμαρτιῶν μου.

-Because of your wrath, there is no soundness in my flesh; there is no peace in my bones because of my sins.

-Ὅτι αἱ ἀνομίαι μου ὑπερῆραν τὴν κεφαλήν μου, ὡσεὶ φορτίον βαρὺ ἐβαρύνθησαν ἐπ᾽ ἐμέ.

-For my iniquities have overwhelmed me: they have weighed upon me like a heavy load.

-Προσώζεσαν καὶ ἐσάπησαν οἱ μώλωπές μου, ἀπὸ προσώπου τῆς ἀφροσύνης μου.
-Ἐταλαιπώρησα καὶ κατεκάμφθην ἕως τέλους· ὅλην τὴν ἡμέραν σκυθρωπάζων ἐπορευόμην.

-My sores have become stench and festering because of my folly.

-A stooping and exhausted wreck, I stumbled, mourning all the day.

-Ὅτι αἱ ψόαι μου ἐπλήσθησαν ἐμπαιγμάτων, καὶ οὐκ ἔστιν ἴασις ἐν τῇ σαρκί μου.

-My loins were burning with fever, for my life is a total mockery, and there is no soundness in my flesh.

-Ἐκακώθην, καὶ ἐταπεινώθην ἕως σφόδρα· ὠρυόμην ἀπὸ στεναγμοῦ τῆς καρδίας μου.

-I was crushed and deeply afflicted; I roared with the groaning of my heart.

-Κύριε, ἐναντίον σου πᾶσα ἡ ἐπιθυμία μου, καὶ ὁ στεναγμός μου ἀπὸ σοῦ οὐκ ἀπεκρύβη.
-Ἡ καρδία μου ἐταράχθη, ἐγκατέλιπέ με ἡ ἰσχύς μου, καὶ τὸ φῶς τῶν ὀφθαλμῶν μου καὶ αὐτὸ οὐκ ἔστι μετ᾽ ἐμοῦ.

-O Lord, all my longing is known to you, and my groaning is no secret to you.
-My heart races, my strength has left me, and even the light of my eyes has failed me.

-Ὅτι οἱ φίλοι μου καὶ οἱ πλησίον μου ἐξ ἐναντίας μου ἤγγισαν καὶ ἔστησαν, καὶ οἱ ἔγγιστά μου ἀπὸ μακρόθεν ἔστησαν.
-Καὶ ἐξεβιάζοντο οἱ ζητοῦντες τὴν ψυχήν μου, καὶ οἱ ζητοῦντες τὰ κακά μοι ἐλάλησαν ματαιότητας, καὶ δολιότητας ὅλην τὴν ἡμέραν ἐμελέτησαν.

-My friends and companions approached and stood by, while my closest kinsmen kept their distance.

-And those who sought my life were egged on while those who wished me ill spoke lies, plotting deception all the day.

-Ἐγὼ δὲ ὡσεὶ κωφὸς οὐκ ἤκουον, καὶ ὡσεὶ ἄλαλος οὐκ ἀνοίγων τὸ στόμα αὐτοῦ.
-Καὶ ἐγενόμην ὡσεὶ ἄνθρωπος οὐκ ἀκούων καὶ οὐκ ἔχων ἐν τῷ στόματι αὐτοῦ ἐλεγμούς.

-But I remained as a deaf man, and heard them not; as a dumb man, and opened not my mouth,
-As a man who has not heard a thing, and thus has no retort upon his lips.

-Ὅτι ἐπὶ σοί, Κύριε, ἤλπισα· σὺ εἰσακούσῃ, Κύριε, ὁ Θεός μου. Ὅτι εἶπον·
-Μήποτε ἐπιχαρῶσί μοι οἱ ἐχθροὶ μου, καὶ ἐν τῷ σαλευθῆναι πόδας μου, ἐπ᾽ ἐμὲ ἐμεγαλορρημόνησαν.

-In you, O Lord, I have placed my trust: you will give heed, O Lord, my God!
-I said, "Oh, that my foes cease to gloat over me who bluster mightily when my feet stumbled."

-Ὅτι ἐγὼ εἰς μάστιγας ἕτοιμος, καὶ ἡ ἀλγηδών μου ἐνώπιόν μού ἐστι διαπαντός.
-Ὅτι τὴν ἀνομίαν μου ἐγὼ ἀναγγελῶ, καὶ μεριμνήσω ὑπὲρ τῆς ἁμαρτίας μου.

-As for me, I am ready to be scourged, and my pain is with me always.

-Indeed, I myself confess my guilt, and I will live in anguish because of my sin.

-Οἱ δὲ ἐχθροί μου ζῶσι καὶ κεκραταίωνται ὑπὲρ ἐμέ, καὶ ἐπληθύνθησαν οἱ μισοῦντές με ἀδίκως.
-Οἱ ἀνταποδιδόντες μοι κακὰ ἀντὶ ἀγαθῶν ἐνδιέβαλλόν με, ἐπεὶ κατεδίωκον ἀγαθωσύνην.

-But my enemies survive and overpower me, and those who hate me without cause are multiplied.
-Those who, rendering evil for good, opposed me when I sought but justice.

-Μὴ ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

-O Lord God, forsake me not! Stay not afar from me.
-Hasten to help me, O Lord of my salvation!

-(Καὶ πάλιν)
-Μή ἐγκαταλίπῃς με, Κύριε, ὁ Θεός μου, μὴ ἀποστῇς ἀπ᾽ ἐμοῦ. Πρόσχες εἰς τὴν βοήθειάν μου, Κύριε τῆς σωτηρίας μου.

(Again)
-O Lord God, forsake me not! Stay not afar from me.
-Hasten to help me, O Lord of my salvation!

ΨΑΛΜΟΣ ξβ΄ (63)

PSALM 62 (63)

-Ὁ Θεός, ὁ Θεός μου, πρὸς σὲ ὀρθρίζω.
-Ἐδίψησέ σε ἡ ψυχή μου, ποσαπλῶς σοι ἡ σάρξ μου ἐν γῇ ἐρήμῳ καὶ ἀβάτῳ καὶ ἀνύδρῳ.

-O God, my God, at dawn I rise to you.

-My soul has thirsted for you, and oh, how my flesh has hungered for you!

-Οὕτως ἐν τῷ ἁγίῳ ὤφθην σοι, τοῦ ἰδεῖν τὴν δύναμίν σου καὶ τὴν δόξαν σου,

-Like a desolate and trackless, land that has no water, so did I come before you in your holy place to see the power and the glory that are yours.

-Ὅτι κρεῖσσον τὸ ἔλεός σου ὑπὲρ ζωάς· τὰ χείλη μου ἐπαινέσουσί σε.

-Since your love is better than life itself, my lips shall declare your praise.

-Οὕτως εὐλογήσω σε ἐν τῇ ζωῇ μου, καὶ ἐν τῷ ὀνόματί σου ἀρῶ τὰς χεῖράς μου.

-So shall I bless you as long as I live, and lift up my hands and call upon your name.

-Ὡς ἐκ στέατος καὶ πιότητος ἐμπλησθείη ἡ ψυχή μου· καὶ χείλη ἀγαλλιάσεως αἰνέσει τὸ στόμα μου.

-My soul shall be filled as with choicest fare, and joyful lips will praise your name.

-Εἰ ἐμνημόνευόν σου ἐπὶ τῆς στρωμνῆς μου, ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ.
-Ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

-As I lay on my couch, I remembered you; I meditated on you throughout the early watches:
-That you became for me the helping one, that in the shelter of your wings, I will find delight.

-Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.
-Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν τὴν ψυχήν μου· εἰσελεύσονται εἰς τὰ κατώτατα τῆς γῆς·

-My soul clings to you, and your right hand holds me up.
-But as for those who sought my life in vain, may they sink into the depths of the earth.

-Παραδοθήσονται εἰς χεῖρας ῥομφαίας, μερίδες ἀλωπέκων ἔσονται.
-Ὁ δὲ βασιλεὺς εὐφρανθήσεται ἐπὶ τῷ Θεῷ· ἐπαινεθήσεται πᾶς ὁ ὀμνύων ἐν αὐτῷ, ὅτι ἐνεφράγη στόμα λαλούντων ἄδικα.

-And be given over to the sword. The prey of jackals they shall be.

-But the king shall rejoice in God, and all who swear by him shall glory, for the mouth of liars is stopped.

-(Καὶ πάλιν)
-Ἐν τοῖς ὄρθροις ἐμελέτων εἰς σέ, ὅτι ἐγενήθης βοηθός μου, καὶ ἐν τῇ σκέπῃ τῶν πτερύγων σου ἀγαλλιάσομαι.

(Again)
- I meditated on you throughout the early watches: That you became for me the helping one, that in the shelter of your wings, I will find delight.

-Ἐκολλήθη ἡ ψυχή μου ὀπίσω σου, ἐμοῦ δὲ ἀντελάβετο ἡ δεξιά σου.

-My soul clings to you, and your right hand holds me up.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα Σοι, ὁ Θεός. (3)

Alleluia, Alleluia, Alleluia. Glory to You, O God. (3)

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Lord, have mercy. Lord, have mercy. Lord, have mercy.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

ΨΑΛΜΟΣ πζ΄ (88)

PSALM 87 (88)

-Κύριε ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα καὶ ἐν νυκτὶ ἐναντίον σου.

-O Lord, God of my salvation, day and night I cried out before you.

-Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου, κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

-Let my prayer reach up to you, lend your ear to my plea, O Lord.

-Ὅτι ἐπλήσθη κακῶν ἡ ψυχή μου, καὶ ἡ ζωή μου τῷ Ἅδη ἤγγισε.

-For my soul was filled with trouble, and my life came close to Hades.

-Προσελογίσθην μετά τῶν καταβαινόντων εἰς λάκκον· ἐγενήθην ὡσεὶ ἄνθρωπος ἀβοήθητος, ἐν νεκροῖς ἐλεύθερος.

-I was reckoned with those who go down to the pit; I was like a man beyond help, left for dead.

-Ὡσεὶ τραυματίαι καθεύδοντες ἐν τάφῳ, ὧν οὐκ ἐμνήσθης ἔτι, καὶ αὐτοὶ ἐκ τῆς χειρός σου ἀπώσθησαν.

-Like the slain left to lie in the grave, those you remember no more: for they are cut away from your hand.

- Ἔθεντό με ἐν λάκκῳ κατωτάτῳ, ἐν σκοτεινοῖς καὶ ἐν σκιᾷ θανάτου.

-You have cast me down to the deepest abyss, into darkness and the shadow of death.

-Ἐπ᾽ ἐμὲ ἐπεστηρίχθη ὁ θυμός σου, καὶ πάντας τοὺς μετεωρισμούς σου ἐπήγαγες ἐπ᾽ ἐμέ.

-Your anger was a burden upon me, you poured your billows over me.

-Ἐμάκρυνας τοὺς γνωστούς μου ἀπ᾽ ἐμοῦ· ἔθεντό με βδέλυγμα ἑαυτοῖς.

-You took my friends away from me, you made me loathsome to them.

-Παρεδόθην καὶ οὐκ ἐξεπορευόμην· οἱ ὀφθαλμοί μου ἠσθένησαν ἀπὸ πτωχείας.

-I was closed in and could not escape, my eyes grew dim with distress.

-Ἐκέκραξα πρὸς σὲ Κύριε, ὅλην τὴν ἡμέραν, διεπέτασα πρὸς σὲ τὰς χεῖρας μου.

-I cried out to you, O Lord, all the day, I stretched out my hands to you.

-Μὴ τοῖς νεκροῖς ποιήσεις θαυμάσια; ἢ ἰατροὶ ἀναστήσουσι καὶ ἐξομολογήσονταί σοι;

-But will you work wonders for the dead? Or can physicians raise them up to sing your praise?

-Μή διηγήσεταί τις ἐν τῷ τάφῳ τὸ ἔλεός σου, καὶ τὴν ἀλήθειάν σου ἐν τῇ ἀπωλείᾳ;

-Does anyone sing your love in the grave, or your truthfulness in the midst of perdition?

-Μή γνωσθήσεται ἐν τῷ σκότει τά θαυμάσιά σου, καὶ ἡ δικαιοσύνη σου ἐν γῇ ἐπιλελησμένῃ;

-Are your marvels ever known in darkness or your justice in the land of oblivion?

-Κἀγὼ πρὸς σέ, Κύριε, ἐκέκραξα, καὶ τὸ πρωῒ ἡ προσευχή μου προφθάσει σε.

-And yet, O Lord, I cried out to you, and to you my prayer shall rise at dawn.

-Ἵνα τί, Κύριε, ἀπωθεῖς τὴν ψυχήν μου, ἀποστρέφεις τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ;
-Πτωχός εἰμι ἐγώ, καὶ ἐν κόποις ἐκ νεότητός μου· ὑψωθεὶς δὲ ἐταπεινώθην καὶ ἐξηπορήθην.

-Why, O Lord, do you reject my prayer? Why do you hide your face away from me?
-I am wretched and troubled since my youth; I was raised high, then humbled and distressed.

-Ἐπ᾽ ἐμὲ διῆλθον αἱ ὀργαί σου, οἱ φοβερισμοί σου ἐξετάραξάν με.
-Ἐκύκλωσάν με ὡσεὶ ὕδωρ, ὅλην τὴν ἡμέραν περιέσχον με ἅμα.

-Your plagues have swept over me and your terrors have left me shaken.
-They surround me like waters all the day; they close in upon me from all sides.

-Ἐμάκρυνας ἀπ᾽ ἐμοῦ φίλον καὶ πλησίον, καὶ τοὺς γνωστούς μου ἀπὸ ταλαιπωρίας.

-You have distanced from me friend and neighbor, and my acquaintances, so wretched am I.

-*(Καὶ πάλιν)*
-Κύριε, ὁ Θεὸς τῆς σωτηρίας μου, ἡμέρας ἐκέκραξα, και ἐν νυκτὶ ἐναντίον σου.
-Εἰσελθέτω ἐνώπιόν σου ἡ προσευχή μου· κλῖνον τὸ οὖς σου εἰς τὴν δέησίν μου.

(Again)
-O Lord, God of my salvation, day and night I cried out before you.

-Let my prayer reach up to you, lend your ear to my request, O Lord.

ΨΑΛΜΟΣ ϱβ΄ (103)	**PSALM 102 (103)**
-Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ πάντα τά ἐντός μου τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.	-Bless the Lord, O my soul! May all that is in me bless his holy name.
-Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον, καὶ μὴ ἐπιλανθάνου πάσας τὰς ἀνταποδόσεις αὐτοῦ.	-Bless the Lord, O my soul, and forget not all the gifts from him.
-Τὸν εὐϊλατεύοντα πάσας τὰς ἀνομίας σου, τὸν ἰώμενον πάσας τὰς νόσους σου.	-Who pardons all your sins and heals all your infirmities.
-Τὸν λυτρούμενον ἐκ φθορᾶς τὴν ζωήν σου, τὸν στεφανοῦντά σε ἐν ἐλέει καὶ οἰκτιρμοῖς.	-Who ransoms your life from corruption and crowns you with his love and mercies.
-Τὸν ἐμπιμπλῶντα ἐν ἀγαθοῖς τὴν ἐπιθυμίαν σου, ἀνακαινισθήσεται ὡς ἀετοῦ ἡ νεότης σου.	-Who fills your longing with what is good, and your youth is renewed like the eagle's.
-Ποιῶν ἐλεημοσύνας ὁ Κύριος, καὶ κρῖμα πᾶσι τοῖς ἀδικουμένοις. Ἐγνώρισε τὰς ὁδοὺς αὐτοῦ τῷ Μωϋσῇ, τοῖς υἱοῖς Ἰσραὴλ τὰ θελήματα αὐτοῦ.	-The Lord performs deeds of kindness, and vindication for all the oppressed. He has made known his ways to Moses, and his will to Israel's children.
-Οἰκτίρμων καὶ ἐλεήμων ὁ Κύριος, μακρόθυμος καὶ πολυέλεος· οὐκ εἰς τέλος ὀργισθήσεται, οὐδὲ εἰς τὸν αἰῶνα μηνιεῖ.	-The Lord is the one of compassion and mercy, long-suffering and manifold love. His contention is not forever, nor will his anger always last.
-Οὐ κατὰ τὰς ἀνομίας ἡμῶν ἐποίησεν ἡμῖν, οὐδὲ κατὰ τὰς ἁμαρτίας ἡμῶν ἀνταπέδωκεν ἡμῖν.	-He has not dealt with us as our sins demand, nor does he repay our evil deeds.
-Ὅτι κατὰ τὸ ὕψος τοῦ οὐρανοῦ ἀπὸ τῆς γῆς, ἐκραταίωσε Κύριος τὸ ἔλεος αὐτοῦ ἐπὶ τοὺς φοβουμένους αὐτόν.	-For as high as the heavens stand over the earth, so far has the Lord extended his love for those who fear him

-Καθόσον ἀπέχουσιν ἀνατολαὶ ἀπὸ δυσμῶν, ἐμάκρυνεν ἀφ᾽ ἡμῶν τὰς ἀνομίας ἡμῶν.

-As far as the East is from the West, so far has he removed our sins from us.

-Καθὼς οἰκτείρει πατὴρ υἱούς, ᾠκτείρησε Κύριος τοὺς φοβουμένους αὐτόν·

-As kind as a father is to his children, so is the Lord to those who fear him.

-Ὅτι αὐτὸς ἔγνω τὸ πλάσμα ἡμῶν, ἐμνήσθη ὅτι χοῦς ἐσμέν.

-For he himself knows well how we were formed: remembers: we are only made of dust.

-Ἄνθρωπος, ὡσεὶ χόρτος αἱ ἡμέραι αὐτοῦ, ὡσεὶ ἄνθος τοῦ ἀγροῦ, οὕτως ἐξανθήσει.

-A man! His days resemble grass: As a flower of the field, so shall he bloom.

-Ὅτι πνεῦμα διῆλθεν ἐν αὐτῷ, καὶ οὐχ ὑπάρξει, καὶ οὐκ ἐπιγνώσεται ἔτι τὸν τόπον αὐτοῦ.

-But let a breeze pass over him and he is gone, and never shall he know his place again.

-Τὸ δὲ ἔλεος τοῦ Κυρίου ἀπὸ τοῦ αἰῶνος, καὶ ἕως τοῦ αἰῶνος ἐπὶ τοὺς φοβουμένους αὐτόν.

-But the love of the Lord is from all eternity and to all eternity for those who fear him.

-Καὶ ἡ δικαιοσύνη αὐτοῦ ἐπὶ υἱοῖς υἱῶν, τοῖς φυλάσσουσι τὴν διαθήκην αὐτοῦ, καὶ μεμνημένοις τῶν ἐντολῶν αὐτοῦ, τοῦ ποιῆσαι αὐτάς.

-And his justice is upon the children of children of those who keep his covenant and remember his laws to obey them.

-Κύριος ἐν τῷ οὐρανῷ ἡτοίμασε τὸν θρόνον αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ πάντων δεσπόζει.

-The Lord has established his throne in heaven. Over all things his kingship is supreme.

-Εὐλογεῖτε τὸν Κύριον πάντες οἱ Ἄγγελοι αὐτοῦ, δυνατοὶ ἰσχύϊ ποιοῦντες τὸν λόγον αὐτοῦ, τοῦ ἀκοῦσαι τῆς φωνῆς τῶν λόγων αὐτοῦ.

-Bless the Lord, all you his angels, you strong and mighty ones who obey his word on hearing the sound of his decree.

-Εὐλογεῖτε τὸν Κύριον πᾶσαι αἱ Δυνάμεις αὐτοῦ, λειτουργοὶ αὐτοῦ, οἱ ποιοῦντες τὸ θέλημα αὐτοῦ.

-Bless the Lord, all you his powers, his attendants who obey his will.

-Εὐλογεῖτε τὸν Κύριον πάντα τὰ ἔργα αὐτοῦ, ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

-Bless the Lord, all you his works, in every place of his dominion.
-Bless the Lord, O my soul!

-(Καὶ πάλιν)
-Ἐν παντὶ τόπῳ τῆς δεσποτείας αὐτοῦ· εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

(Again)
-Bless the Lord, O my soul!
In every place of his dominion.

ΨΑΛΜΟΣ ϱμβ΄ (143)

-Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου·
-Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν.

-Ὅτι κατεδίωξεν ὁ ἐχθρὸς τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου.
-Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκροὺς αἰῶνος· καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου.

-Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων.

-Διεπέτασα πρὸς σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι.
-Ταχὺ εἰσάκουσόν μου, Κύριε· ἐξέλιπε τὸ πνεῦμά μου·

-Μή ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον.
-Ἀκουστὸν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός σου, ὅτι ἐπὶ σοὶ ἤλπισα.

-Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς σὲ ἦρα τὴν ψυχήν μου.

PSALM 142 (143)

-O Lord, hear my prayer; in your truthfulness, give heed to my plea, and in your righteousness answer me;

-And enter not into judgment with your servant, since of all the living, none is just in your sight.

-The enemy has hunted me down; he has crushed my life into the ground;
-He has forced me to live in darkness like those long dead. My spirit faints with grief, and within me, my heart is in despair.

-I recalled the days of old, I meditated on all your deeds, I pondered the works of your hands.

-I stretched out my hand to you; like a parched land, my soul thirsts for you.
-Make haste to answer me, O Lord: my spirit has failed me.

Turn not your face away from me, lest I be like those in the pit.

-Grant that I may hear your steadfast love at dawn, for I have placed my hope in you.
-O Lord, teach me the way I should go, for I have lifted up my soul to you.

-Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρὸς σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά σου, ὅτι σὺ εἶ ὁ Θεός μου.
-Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με.
-Ἐν τῇ δικαιοσύνῃ σου, ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου, καὶ ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου.

-Καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου, ὅτι ἐγὼ δοῦλός σου εἰμί.

-(Καὶ πάλιν)
-Εἰσάκουσόν μου, Κύριε, ἐν τῇ δικαιοσύνῃ σου, καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου.
-Τὸ Πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα· δόξα σοι, ὁ Θεός. *(2)*

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα· δόξα σοι, ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΙΕΡΕΥΣ: Ἐν εἰρήνῃ, τοῦ Κυρίου δεηθῶμεν.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ: Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης καὶ τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

-O Lord, deliver me from my enemies: it is to you that I have fled. Teach me to do your will, for you are my God.

-May your good Spirit lead me on a straight path. For the sake of your name, O Lord, you will keep me alive;
-In your righteousness, you will deliver me from affliction. And in your loving kindness, you will destroy my enemies.
-And bring to nought all those who oppress me, for I am your servant.

(Again)
-O Lord, hear my prayer; in your truthfulness, give heed to my plea, and in your righteousness answer me;
-May your good Spirit lead me on a straight path.

Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

Alleluia, Alleluia, Alleluia. Glory to You, O God. *(2)*

(Chant) Alleluia, Alleluia, Alleluia. Glory to You, O God. Our hope, O Lord, glory to You.

PRIEST: In peace, let us pray to the Lord.

CANTOR: Lord, have mercy.

PRIEST: For heavenly peace and the salvation of our souls, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καὶ τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

PRIEST: For peace in the whole world, the stability of God's Holy Churches and for the oneness of all, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καὶ τῶν μετὰ πίστεως, εὐλαβείας καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

PRIEST: For this holy house, and all who enter it with faith, reverence and godly fear, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ὑπὲρ τοῦ Ἀρχιεπισκόπου ἡμῶν *(N.)*, τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντὸς τοῦ Κλήρου καὶ τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

PRIEST: For our Archbishop *(N.)*, the worthy priesthood, the deacons in Christ, for all the clergy and the people, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ὑπὲρ τοῦ ἔθνους ἡμῶν, τοῦ Προέδρου, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

PRIEST: For our country, the President, and all in public service, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ὑπὲρ τῆς κοινότητος καὶ πόλεως ταύτης, πάσης πόλεως, χώρας, και τῶν πίστει οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

PRIEST: For this city and this Parish, for every city and land, and for the faithful who live in them, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς, καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

PRIEST: For temperate weather, abundance of the goods of the earth, and for peaceful times, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, ἀεροπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καὶ τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

PRIEST: For those who travel, by land, sea and air, for those who are sick or suffering or in captivity, and for their safe-keeping, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, του Κυρίου δεηθῶμεν.

PRIEST: That we may be spared all affliction, wrath, danger and want, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

PRIEST: Help us, save us, have mercy on us and keep us, O God in Your grace.

Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

Remembering our most holy, pure, blessed and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the saints, let us commend ourselves and one another, and our whole life to Christ our God.

ΨΑΛΤΗΣ: Σοί, Κύριε.

CANTOR: To You, O Lord.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

PRIEST: For all glory, honor and worship are Your due, Father, Son and Holy Spirit, now and always, and forever and ever.

ΨΑΛΤΗΣ: Ἀμήν.

CANTOR: Amen.

(Εἰς τὸν ἦχον τοῦ Ἀπολυτικίου)

ΨΑΛΤΗΣ: Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. α΄. Ἐξομολογεῖσθε τῷ Κυρίῳ, καὶ ἐπικαλεῖσθε τὸ Ὄνομα τὸ ἅγιον αὐτοῦ.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. β΄. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με, καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

Στίχ. γ΄. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἐστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου.

ΠΑΡΑΠΕΜΠΕΣΘΕ ΕΙΣ ΤΗΝ ΑΝΑΛΟΓΟΝ ΗΜΕΡΟΜΗΝΙΑΝ ΤΗΣ ΚΥΡΙΑΚΗΣ ΔΙΑ ΤΟ ΥΠΟΛΟΙΠΟΝ ΤΟΥ ΟΡΘΡΟΥ.
(Ἴδετε σελ. 20)

(In the tone of the Dismissal hymn)

CANTOR: God is Lord and has revealed Himself to us. Blessed is He Who comes in the name of the Lord.

Verse 1: Give thanks to the Lord and call upon His Holy Name.

God is Lord and has revealed Himself to us. Blessed is He Who comes in the name of the Lord.

Verse 2: All the Gentiles surrounded me, but I fought them back in the Lord's name.

God is Lord and has revealed Himself to us. Blessed is He Who comes in the name of the Lord.

Verse 3: This came about through the Lord, and it is wonderful in our eyes.

God is Lord and has revealed Himself to us. Blessed is He Who comes in the name of the Lord.

FOR THE REMAINDER OF THE SERVICE PLEASE REFER TO THE CALENDAR DATE FOR THAT PARTICULAR SUNDAY.
(See page 20)

Ἀπὸ 12ης Ἀπριλίου μεχρίς 20ης Μαΐου ὁ Ὄρθρος ἄρχεται ὡς ἐξῆς:

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΨΑΛΤΗΣ: Ἀμήν.

Χριστὸς ἀνέστη ἐκ νεκρῶν, θανάτῳ θάνατον πατήσας καὶ τοῖς ἐν τοῖς μνήμασι ζωὴν χαρισάμενος. (3)

ΑΝΑΓΝΩΣΤΗΣ: Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον· Κύριε, ἐλέησον· Κύριε, ἐλέησον.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι· καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν, ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον. Καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς

From the 12th of April until May 20, 2026 the Orthros begins as follows:

PRIEST: Blessed is our God, now and always, and forever and ever.

CANTOR: Amen.

Christ is risen from the dead and through His death He trampled death and to those in the tomb He granted life, everlasting life! (3)

READER: Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

All Holy Trinity, have mercy on us. Lord, be gracious to us in our sins. Master, forgive our transgressions. Holy One, consider our weaknesses and heal them, for Your Name's sake.

Lord, have mercy. Lord, have mercy. Lord, have mercy.

Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

Our Father, who art in heaven, hallowed be Thy Name. Thy kingdom come, Thy will be done, on earth as it is in heaven. Give us this day our daily bread. And forgive us our trespasses as we forgive those who trespass against us. And lead us not

ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν· Καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

into temptation, but deliver us from evil.

ΙΕΡΕΥΣ: Ὅτι σοῦ ἐστιν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος· νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

PRIEST: For Yours is the kingdom, and the power, and the glory, of the Father, and of the Son, and of the Holy Spirit, now and always, and forever and ever.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν. Σῶσον, Κύριε , τὸν λαόν σου καὶ εὐλόγησον τὴν κληρονομίαν σου, νίκας τοῖς βασιλεῦσι κατὰ βαρβάρων δωρούμενος καὶ τὸ σὸν φυλάττων διὰ τοῦ Σταυροῦ σου πολίτευμα.

READER: Amen. O Lord, save Your people and bless Your inheritance; grant victory to the Faithful over all adversity and protect Your people through Your Cross.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Glory to the Father, and the Son, and the Holy Spirit.

(Παραπέμπεσθε εἰς τήν σελίδα 2 ὅπου ἀκολουθεῖ τό ὑπόλοιπον τῆς ἀκολουθίας ἀπό τό ...Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.....)

(For the remainder of the service please go to page 2 and continue from.....Lifted up on the Cross .....)

ΚΥΡΙΑΚΗ ΠΡΟ ΤΩΝ ΦΩΤΩΝ

Ἡ Σύναξις τῶν Ἑβδομήκοντα Ἀποστόλων, καὶ Θεοκτίστου τοῦ Ὁσίου

ΕΩΘΙΝΟΝ Η΄
Ἦχος πλ. α΄

ΑΠΟΛΥΤΙΚΙΟΝ
Ἦχος πλ. α΄

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοί, καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Ἦχος πλ. α΄

Τὸν συνάναρχον Λόγον Πατρὶ καὶ Πνεύματι, τὸν ἐκ Παρθένου τεχθέντα εἰς σωτηρίαν ἡμῶν, ἀνυμνήσωμεν πιστοί, καὶ προσκυνήσωμεν· ὅτι ηὐδόκησε σαρκί, ἀνελθεῖν ἐν τῷ Σταυρῷ καὶ θάνατον ὑπομεῖναι, καὶ ἐγεῖραι τοὺς τεθνεῶτας, ἐν τῇ ἐνδόξῳ ἀναστάσει αὐτοῦ.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

SUNDAY BEFORE EPIPHANY

The Synaxis of the Seventy Apostles; Theoktistos the Venerable

EOTHINON 8
Tone 5

DISMISSAL HYMN
Fifth tone

O Faithful, let us sing a hymn of praise and worship to the Logos who is co-eternal with the Father and the Spirit, who was born of the Virgin for our salvation. Of His own will, He went upon the Cross in the flesh and suffered death, to raise the dead through His glorious Resurrection.

Glory to the Father, and the Son, and the Holy Spirit.

Fifth tone

O Faithful, let us sing a hymn of praise and worship to the Logos who is co-eternal with the Father and the Spirit, who was born of the Virgin for our salvation. Of His own will, He went upon the Cross in the flesh and suffered death, to raise the dead through His glorious Resurrection.

Now and always, and forever and ever. Amen.

Ἦχος δ΄. Κατεπλάγη Ἰωσήφ.

Ἑτοιμάζου Ζαβουλών, καὶ εὐτρεπίζου Νεφθαλείμ. Ἰορδάνη ποταμέ, στῆθι ὑπόδεξαι σκιρτῶν, τοῦ βαπτισθῆναι ἐρχόμενον τὸν Δεσπότην. Ἀγάλλου ὁ Ἀδὰμ σὺν τῇ Προμήτορι· μὴ κρύπτετε ἑαυτούς, ὡς ἐν Παραδείσῳ τὸ πρίν· καὶ γὰρ γυμνοὺς ἰδὼν ὑμᾶς ἐπέφανεν, ἵνα ἐνδύσῃ τὴν πρώτην στολήν. Χριστὸς ἐφάνη, τὴν πᾶσαν κτίσιν, θέλων ἀνακαινίσαι.

ΙΕΡΕΥΣ: Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΨΑΛΤΗΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι σὸν τὸ κράτος, καὶ σοῦ ἐστιν ἡ Βασιλεία, καὶ ἡ δύναμις καὶ ἡ δόξα, τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

Fourth tone

Make ready, O Zebulum; Prepare yourself, O Naphthali; cease to flow, O River Jordan; receive in joy the Master who comes to be baptized. Adam, rejoice with the first mother. Do not hide in Paradise, as before, for He came to see us, even naked, that He might clothe us as we were before. Christ has appeared to renew all creation.

PRIEST: Again in peace, let us pray to the Lord.

CANTOR: Lord, have mercy.

PRIEST: Help us, save us, have mercy on us and keep us, O God, in Your grace.

CANTOR: Lord, have mercy.

PRIEST: Remembering our most holy, pure, blessed and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the Saints, let us commend ourselves and one another, and our whole life to Christ our God.

CANTOR: To You, O Lord.

PRIEST: For Yours is the dominion, and Yours the Kingdom and the power and the glory, Father, Son, and Holy Spirit, now and always, and forever and ever.

ΨΑΛΤΗΣ: Ἀμήν.

ΚΑΘΙΣΜΑΤΑ

Ἦχος πλ. α΄
Μετὰ τὴν α΄ Στιχολογίαν.
Τὸν συνάναρχον Λόγον.

Τὸν Σταυρὸν τοῦ Κυρίου ἐγκωμιάσωμεν, τὴν ταφὴν τὴν ἁγίαν ὕμνοις τιμήσωμεν, καὶ τὴν Ἀνάστασιν αὐτοῦ ὑπερδοξάσωμεν· ὅτι συνήγειρε νεκροὺς ἐκ τῶν μνημάτων ὡς Θεός, σκυλεύσας κράτος θανάτου, καὶ ἰσχὺν διαβόλου, καὶ τοῖς ἐν Ἅδῃ φῶς ἀνέτειλεν.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Κύριε, νεκρὸς προσηγορεύθης, ὁ νεκρώσας τὸν θάνατον· ἐν μνήματι ἐτέθης, ὁ κενώσας τὰ μνήματα· ἄνω στρατιῶται τὸν τάφον ἐφύλαττον, κάτω τοὺς ἀπ᾽Αἰῶνος νεκροὺς ἐξανέστησας. Παντοδύναμε, καὶ ἀκατάληπτε, Κύριε, δόξα σοι.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἦχος πλ. α΄

Χαῖρε, πύλη Κυρίου ἡ ἀδιόδευτος· χαῖρε, τεῖχος καὶ σκέπη τῶν προστρεχόντων εἰς σέ· χαῖρε, ἀχείμαστε λιμὴν καὶ ἀπειρόγαμε. Ἡ τεκοῦσα ἐν σαρκί, τὸν ποιητήν σου καὶ Θεόν, πρεσβεύουσα μὴ ἐλλείπῃς, ὑπὲρ τῶν ἀνυμνούντων, καὶ προσκυνούντων τὸν Τόκον σου.

CANTOR: Amen.

KATHISMATA

Fifth tone
First Kathisma

Let us extol the Cross of the Lord. Let us honor His Holy burial with hymns. Let us glorify His divine Resurrection. As God, He has raised the dead from the graves with Him. He has vanquished the might of death and the power of the devil. He has shed light upon those in Hades.

Glory to the Father, and the Son, and the Holy Spirit.

You, O Lord, who brought death to death, were called dead. You were placed in a grave, who emptied the grave. While soldiers guarded the tomb above, You were below, raising the dead from all time. Wherefore, Incomprehensible Lord Almighty, glory to You.

Now and always, and forever and ever. Amen.

Fifth tone

Hail, uncrossed portal of the Lord! Hail, defense and protection of all who come to you! Hail, peaceful haven, who have never known a man, yet gave birth to your Creator and God. Never cease to intercede for those who sing the praise of the One born of you, for those who worship your Son.

Μετὰ τὴν β΄ Στιχολογίαν.
Ἦχος πλ. α΄

Κύριε, μετὰ τὴν τριήμερόν σου Ἀνάστασιν καὶ τὴν τῶν Ἀποστόλων προσκύνησιν, ὁ Πέτρος ἐβόα σοι· Γυναῖκες ἀπετόλμησαν, κἀγὼ ἐδειλίασα· Ληστὴς ἐθεολόγησε, κἀγὼ ἠρνησάμην σε· ἆρα καλέσεις με τοῦ λοιποῦ μαθητήν; ἢ πάλιν δείξεις με ἁλιέα βυθοῦ; Ἀλλὰ μετανοοῦντά με δέξαι, ὁ Θεός, καὶ σῶσόν με.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Κύριε, ἐν μέσῳ σε προσήλωσαν οἱ παράνομοι τῶν καταδίκων, καὶ λόγχῃ τὴν πλευράν σου ἐξεκέντησαν, ὦ Ἐλεῆμον· ταφὴν δὲ κατεδέξω, ὁ λύσας Ἅδου τὰς πύλας καὶ ἀνέστης τριήμερος. Ἔδραμον γυναῖκες ἰδεῖν σε καὶ ἀπήγγειλαν Ἀποστόλοις τὴν Ἔγερσιν. Ὑπερυψούμενε Σωτήρ, ὅν ὑμνοῦσιν Ἄγγελοι, εὐλογημένε Κύριε, δόξα σοι.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἀπειρόγαμε Νύμφη Θεογεννήτρια, ἡ τῆς Εὔας τὴν λύπην χαροποιήσασα, ἀνυμνοῦμεν οἱ πιστοὶ καὶ προσκυνοῦμέν σε, ὅτι ἀνήγαγες ἡμᾶς ἐκ τῆς ἀρχαίας ἀρᾶς· καὶ νῦν δυσώπει ἀπαύστως, πανύμνητε Παναγία, εἰς τὸ σωθῆναι ἡμᾶς.

Second Kathisma
Fifth tone

After Your Resurrection on the third day, and the veneration of Your Apostles, O Lord, Peter spoke out and said, "I cowered and the women dared. I denied You, and the thief proclaimed Your divinity. Will You still call me Your disciple, or again make me a fisher of the deep? But do receive me as repentant, O God, and save me."

Glory to the Father, and the Son, and the Holy Spirit.

O Lord, the transgressors hung You with nails between the condemned. O merciful One, they pierced Your side with a spear. You accepted the grave, loosed the gates of Hades, and rose on the third day. Women hasten to behold You and announce to the Apostles that You are risen. Most exalted Savior, whom angels praise, blessed Lord, glory to You.

Now and always, and forever and ever. Amen.

O Bride without wedlock, Birth-giver of God, who turned Eve's sorrow into joy, we the faithful sing praises to you and glorify you, for you lifted from us the ancient curse. Now, all Holy and most praised, offer for us unceasing intercessions that we may be saved.

ΕΥΛΟΓΗΤΑΡΙΑ

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τῶν ἀγγέλων ὁ δῆμος κατεπλάγη ὁρῶν σε ἐν νεκροῖς λογισθέντα, τοῦ θανάτου δέ, Σωτήρ, τὴν ἰσχὺν καθελόντα καὶ σὺν ἑαυτῷ τὸν Ἀδὰμ ἐγείραντα καὶ ἐξ Ἅδου πάντας ἐλευθερώσαντα.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Τί τὰ μῦρα συμπαθῶς τοῖς δάκρυσιν, ὦ μαθήτριαι, κιρνᾶτε, ὁ ἀστράπτων ἐν τῷ τάφῳ ἄγγελος προσεφθέγγετο ταῖς μυροφόροις Ἴδετε ὑμεῖς τὸν τάφον καὶ ἥσθητε· ὁ Σωτὴρ γὰρ ἐξανέστη τοῦ μνήματος.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Λίαν πρωῒ μυροφόροι ἔδραμον πρὸς τὸ μνῆμά σου θρηνολογοῦσαι, ἀλλ᾽ἐπέστη πρὸς αὐτὰς ὁ ἄγγελος καὶ εἶπε, θρήνου ὁ καιρὸς πέπαυται, μὴ κλαίετε, τὴν ἀνάστασιν δὲ ἀποστόλοις εἴπατε.

Εὐλογητὸς εἶ, Κύριε, δίδαξόν με τὰ δικαιώματά σου.

Μυροφόροι γυναῖκες μετὰ μύρων ἐλθοῦσαι πρὸς τὸ μνῆμά σου, Σῶτερ, ἐνηχοῦντο Ἀγγέλου τρανῶς πρὸς αὐτὰς φθεγγομένου· τί μετὰ νεκρῶν τὸν ζῶντα λογίζεσθε; ὡς Θεὸς γὰρ ἐξανέστη τοῦ μνήματος.

EVLOGITARIA

Blessed are You, O Lord, teach me Your commandments.

The host of angels was overwhelmed seeing You among the dead. You destroyed the power of death, O Savior. You rose from the dead and brought Adam with You, and all were freed from Hades.

Blessed are You, O Lord, teach me Your commandments.

A radiant angel spoke from the tomb to the myrrh-bearing women disciples saying, "Why mingle myrrh with tears? Come see the tomb and be glad, for the Savior has risen from the grave."

Blessed are You, O Lord, teach me Your commandments.

In early morn the myrrh-bearers came mourning to Your tomb, but an angel appeared before them and said, "The time for mourning has passed, weep not, go and proclaim His Resurrection to the Apostles."

Blessed are You, O Lord, teach me Your commandments.

The myrrh-bearing women came to Your tomb, O Savior. They heard an angel say, "Why number Him who lives among the dead? He is God and has risen from the tomb."

Δόξα Πατρὶ, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Glory to the Father, and the Son, and the Holy Spirit.

Προσκυνοῦμεν Πατέρα καὶ τὸν τούτου Υἱόν τε καὶ τὸ Ἅγιον Πνεῦμα, τὴν Ἁγίαν Τριάδα ἐν μιᾷ τῇ οὐσία, σὺν τοῖς Σεραφείμ, κράζοντες τό· Ἅγιος, Ἅγιος, Ἅγιος εἶ, Κύριε.

We worship the Father, His Son, and the Holy Spirit, the Holy Trinity, one in essence. We proclaim with the Seraphim, Holy, Holy, Holy are You, O Lord.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Now and always, and forever and ever. Amen.

Ζωοδότην τεκοῦσα, ἐλυτρώσω, Παρθένε, τὸν Ἀδὰμ ἁμαρτίας, χαρμονὴν δὲ τῇ Εὔᾳ ἀντὶ λύπης παρέσχες· ρεύσαντα ζωῆς, ἴθυνε πρὸς ταύτην δέ, ὁ ἐκ σοῦ σαρκωθεὶς Θεὸς καὶ ἄνθρωπος.

O Virgin, you gave birth to the Giver of Life. You freed Adam from sin. You gave joy to Eve in place of her sorrow. He brought to life those who had lost life. He to whom you gave flesh is both God and man.

Ἀλληλούϊα, ἀλληλούϊα, ἀλληλούϊα, δόξα σοι ὁ Θεός. (3)

Alleluia, alleluia, alleluia, glory to You, O God. (3)

ΙΕΡΕΥΣ: Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

PRIEST: Again in peace, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

PRIEST: Help us, save us, have mercy on us and keep us, O God, in Your grace.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΙΕΡΕΥΣ: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

PRIEST: Remembering our most holy, pure, blessed and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the Saints, let us commend ourselves and one another, and our whole life to Christ our God.

ΨΑΛΤΗΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι ηὐλόγηταί σου τὸ ὄνομα, καὶ δεδόξασταί σου ἡ Βασιλεία, τοῦ Πατρός, καὶ τοῦ Υἱοῦ, καὶ τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΨΑΛΤΗΣ: Ἀμήν.

ΥΠΑΚΟΗ

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀγγελικῇ ὁράσει τὸν νοῦν ἐκθαμβούμεναι καὶ θεϊκῇ Ἐγέρσει τὴν ψυχὴν φωτιζόμεναι, αἱ Μυροφόροι τοῖς Ἀποστόλοις εὐηγγελίζοντο· Ἀναγγείλατε ἐν τοῖς Ἔθνεσι τὴν Ἀνάστασιν τοῦ Κυρίου, συνεργοῦντος τοῖς θαύμασι καὶ παρέχοντος ἡμῖν τὸ μέγα ἔλεος.

ΑΝΑΒΑΘΜΟΙ

Ἀντίφωνον Α΄.

ΨΑΛΤΗΣ: Ἐν τῷ θλίβεσθαί με, Δαυϊτικῶς ᾄδω σοι, Σωτήρ μου· ῥῦσαί μου τὴν ψυχὴν ἐκ γλώσσης δολίας.

Τοῖς ἐρημικοῖς, ζωὴ μακαρία ἐστί, θεϊκῷ ἔρωτι πτερουμένοις.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι, περικρατεῖται πάντα τὰ ὁρατά τε, σὺν τοῖς ἀοράτοις· αὐτοκρατὲς γὰρ ὄν, τῆς Τριάδος ἕν ἐστιν ἀψεύστως.

CANTOR: To You, O Lord.

PRIEST: For blessed is Your name and glorified is Your Kingdom, Father, Son, and Holy Spirit, now and always, and forever and ever.

CANTOR: Amen.

ΥΡΑΚΟΕ

READER: The minds of the Myrrh-bearers blurred at the sight of the angels. Their souls became illumined by the Divine Resurrection. They delivered the glad tidings to the Apostles, saying, "Proclaim to all nations the Resurrection of the Lord who, with you, works wonders, and grants us all great mercy."

ANAVATHMOI

First Antiphon:

CANTOR: O my Lord, in my sorrow I sing to You like David. Save my soul from deceitful tongues.

Blessed is the life of those in the desert. By love divine, they ascend upward.

Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

All things visible and invisible are preserved by the Holy Spirit. He is the Sovereign Being and truly one of the Trinity.

Ἀντίφωνον Β΄.

Εἰς τὰ ὄρη, ψυχή, ἀρθῶμεν· δεῦρο ἐκεῖσε, ὅθεν βοήθεια ἥκει.

Δεξιά σου χεὶρ κἀμέ, Χριστέ, ἱπταμένη, σκαιωρίας πάσης περιφυλαξάτω.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι θεολογοῦντες φῶμεν· σὺ εἶ Θεός, ζωή, ἔρως, φῶς, νοῦς, σὺ χρηστότης, σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας.

Ἀντίφωνον Γ΄.

Ἐπὶ τοῖς εἰρηκόσι μοι, εἰς τὰς αὐλὰς προβῶμεν Κυρίου, χαρᾶς πολλῆς πλησθείς, εὐχὰς ἀναπέμπω.

Ἐπὶ οἶκον Δαυΐδ, τὰ φοβερὰ τελεσιουργεῖται· πῦρ γὰρ ἐκεῖ φλέγον ἅπαντα αἰσχρὸν νοῦν.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι, καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι ζωαρχικὴ ἀξία· ἐξ οὗ πᾶν ζῷον ἐμψυχοῦται, ὡς ἐν Πατρὶ ἅμα τε καὶ Λόγῳ.

ΠΡΟΚΕΙΜΕΝΟΝ: Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας. (2)

Second Antiphon:

O my soul, let us ascend the heights. From there comes your help.

Let Your right hand also touch me, Christ, that I may be preserved from all evil deceits.

Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

Let us speak by the Holy Spirit of things divine. You are God, life, love, light, and mind. You are goodness and You reign unto the ages.

Third Antiphon:

For those who have said to me, "Let us go into the courts of the Lord." I offer prayers, being filled with great joy.

In the house of David, awesome wonders happen, for therein is a burning fire which consumes every evil mind.

Glory to the Father, and the Son, and the Holy Spirit, now and always, and forever and ever. Amen.

Every living thing is animated by the Holy Spirit who, with the Father and the Logos, is the principle of life.

PROKEIMENON: Awake, O Lord my God, for you reign unto the ages. (2)

Στίχος· Ἐξομολογήσομαί σοι, Κύριε, ἐν ὅλῃ καρδίᾳ μου.

Ἀνάστηθι, Κύριε ὁ Θεός μου, ὅτι σὺ βασιλεύεις εἰς τοὺς αἰῶνας.

ΚΟΝΤΑΚΙΟΝ

Ἦχος πλ. α΄

ΑΝΑΓΝΩΣΤΗΣ: Πρὸς τὸν Ἅδην Σωτήρ μου συγκαταβέβηκάς, καὶ τὰς πύλας συντρίψας ὡς Παντοδύναμος, τοὺς θανόντας ὡς Κτίστης συνεξανέστησας, καὶ θανάτου τὸ κέντρον Χριστὲ συνέτριψας, καὶ Ἀδὰμ τῆς κατάρας ἐρρύσω Φιλάνθρωπε. Διὸ πάντες σοὶ κράζομεν· σῶσον ἡμᾶς, Κύριε.

ΟΙΚΟΣ

Ἀκούσασαι αἱ γυναῖκες τοῦ Ἀγγέλου τὰ ρήματα, ἀπεβάλοντο τὸν θρῆνον, προσχαρεῖς γενόμεναι, καὶ σύντρομοι τὴν Ἀνάστασιν ἔβλεπον, καὶ ἰδοὺ Χριστὸς προσήγγισεν αὐταῖς, λέγων τό· Χαίρετε, θαρσεῖτε, ἐγὼ τὸν κόσμον νενίκηκα, καὶ τοὺς δεσμίους ἐρρυσάμην. Σπουδάσατε οὖν πρὸς τοὺς Μαθητάς, ἀπαγγέλουσαι αὐτοῖς, ὅτι προάγω ὑμᾶς ἐν τῇ πόλει Γαλιλαίᾳ τοῦ κηρῦξαι. Διὸ πάντες σοι κράζομεν, σῶσον ἡμᾶς Κύριε.

ΣΥΝΑΞΑΡΙΟΝ

Τῇ Δ΄ τοῦ αὐτοῦ μηνός, Ἡ Σύναξις τῶν ἁγίων, καὶ ἐνδόξων Ἑβδομήκοντα Ἀποστόλων.

Verse: O Lord, I will give thanks to you with my whole heart.

Awake, O Lord my God, for you reign unto the ages.

KONTAKION

Fifth tone

READER: As Almighty, my Savior, You descended into Hades and shattered its gates. As Creator, O Christ, You raised the dead, shattered death's sting, and delivered Adam from the curse, O Loving One. Therefore, we all cry out, "Save us, O Lord!"

OIKOS

The women, having heard the words of the angel, ceased their lament and became joyous. With trembling, they looked upon the Resurrection, and behold, Christ approached them saying, "Rejoice, take courage, for I have conquered the world and delivered those in bondage. Hurry, therefore, to the disciples. Tell them that I go before them to preach in the city of Galilee." Therefore, we all cry out unto You, "Save us, O Lord."

SYNAXARION

On this, the fourth day of the month, the Synaxis of the holy glorious Seventy Apostles.

Τῇ αὐτῇ ἡμέρᾳ, Ὁ Ὅσιος Θεόκτιστος, ὁ Ἡγούμενος τοῦ ἐν τῷ Κουκούμῳ τῆς Σικελίας, ἐν εἰρήνῃ τελειοῦται.

On this day, the memory of the venerable Theoktistos, Abbott of the Monastary in Como, Sicily, dies in peace.

Τῇ αὐτῇ ἡμέρᾳ, Οἱ ἅγιοι ἓξ Μάρτυρες ἐν εἰρήνῃ τελειοῦνται.

On this day, the memory of the holy Six Martyrs who died in peace.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμη τῶν Ἁγίων Μαρτύρων. Ζωσίμου Μοναχοῦ, καὶ Ἀθανασίου Κομενταρησίου.

On this day, the memory of the holy martyrs, Zosimos the Monk, and Athanasios Komentarisios.

Τῇ αὐτῇ ἡμέρᾳ, Μνήμῃ τῆς Ὁσίας Ἀπολιναρίας τῆς Συγκλητικῆς.

On this day, the memory of the venerable Apolinaria of the Assembly.

Μνήμη τῶν Ἁγίων Μαρτύρων Χρυσάνθου καὶ Εὐφημίας τῆς πλησίον τοῦ Ἁγίου Μάρτυρος Ἀκακίου.

The memory of the holy martyrs, Chrysanthos and Efymia, who was by the side of the martyr Akakios.

Μνήμη τοῦ Ἁγίου νέου Ὁσιομάρτυρος Ὀνουφρίου, τοῦ ἐν Χίῳ μαρτυρήσαντος ἐν ἔτει 1818.

The memory of the neo-priest martyr, Onoufrios, martyred in Chios in 1818.

Ταῖς αὐτῶν ἁγίαις πρεσβείαις, ὁ Θεός, ἐλέησον ἡμᾶς. Ἀμήν.

Through their holy intercessions, O God, have mercy on us and save us. Amen.

ΑΙ ΚΑΤΑΒΑΣΙΑΙ

THE KATAVASIAI

Ὠδὴ α΄. Ἦχος β΄.

First Ode. Second tone.

ΨΑΛΤΗΣ: Βυθοῦ ἀνεκάλυψε πυθμένα, καὶ διὰ ξηρᾶς οἰκείους ἔλκει, ἐν αὐτῷ κατακαλύψας ἀντιπάλους, ὁ κραταιὸς ἐν πολέμοις Κύριος· ὅτι δεδόξασται.

CANTOR: The Lord, mighty in battles, uncovered the bed of the sea and led His people across dry land. He overwhelmed His adversaries with the waters of the sea, for He has been glorified.

Ὠδὴ γ΄.

Third Ode

Ἰσχὺν ὁ διδούς, τοῖς Βασιλεῦσιν ἡμῶν Κύριος, καὶ κέρας χριστῶν αὐτοῦ ὑψῶν, Παρθένου ἀποτίκτεται· μολεῖ δὲ πρὸς τὸ Βάπτισμα· διὸ πιστοὶ βοήσωμεν· Οὐκ ἔστιν ἅγιος, ὡς ὁ Θεὸς ἡμῶν, καὶ οὐκ ἔστι δίκαιος, πλήν σου Κύριε.

The Lord who gives strength to our kings and exalts the power of His anointed is born of a Virgin, and comes to baptism. Wherefore, O Faithful, let us cry out, "None is Holy as our God, and none is righteous, but You, O Lord."

Ὠδή δ΄.

Fourth Ode

Ἀκήκοε κύριε φωνῆς σου, ὅν εἶπας, Φωνὴ βοῶντος ἐν ἐρήμῳ, ὅτε ἐβρόντησας πολλῶν ἐπὶ ὑδάτων, τῷ σῷ μαρτυρούμενος Υἱῷ· ὅλον γεγονὼς τοῦ παρόντος, Πνεύματος δὲ ἐβόησε· Σὺ εἶ Χριστός. Θεοῦ σοφία καὶ δύναμις.

He whom You called "a voice crying in the wilderness" heard Your voice, bearing witness to Your Son, as You thundered over the waters. Wholly filled by the presence of the Spirit, he cried out, "You are the Christ, the Wisdom and Power of God!"

Ὠδή ε΄.

Fifth Ode

Ἰησοῦς ὁ ζωῆς ἀρχηγός, λῦσαι τὸ κατάκριμα ἥκει, Ἀδὰμ τοῦ πρωτοπλάστου· καθαρσίων δέ, ὡς Θεὸς μὴ δεόμενος, τῷ πεσόντι καθαίρεται ἐν τῷ Ἰορδάνῃ· ἐν ᾧ τὴν ἔχθραν κτείνας, ὑπερέχουσαν, πάντα νοῦν εἰρήνην χαρίζεται.

Jesus, the Ruler of Life, has come to abolish the condemnation of Adam the progenitor. He needs no cleansing, for He is God. He cleanses the fallen in Jordan, and slays in it enmity and grants peace beyond all understanding.

Ὠδὴ ς΄.

Sixth Ode

Ἡ φωνὴ τοῦ Λόγου, ὁ λύχνος τοῦ Φωτὸς ὁ Ἑωσφόρος, ὁ τοῦ Ἡλίου Πρόδρομος, ἐν τῇ ἐρήμῳ, Μετανοεῖτε πᾶσι βοᾷ τοῖς λαοῖς, καὶ προκαθαίρεσθε· ἰδοὺ γὰρ πάρεστι Χριστός, ἐκ φθορᾶς τὸν κόσμον λυτρούμενος.

The voice of the Logos, the lamp of the Light, the morning star, the forerunner of the Sun, has cried out to the people in the wilderness "Repent and be cleansed, for Christ is coming to deliver the world from corruption."

Ὠδὴ ζ΄.

Seventh Ode

Νέους εὐσεβεῖς, καμίνῳ πυρός προσομιλήσαντας, διασυρίζον πνεῦμα δρόσου, ἀβλαβεῖς διεφύλαξε, καὶ θείου Ἀγγέλου συγκατάβασις· ὅθεν ἐν φλογὶ δροσιζόμενοι, εὐχαρίστως ἀνέμελπον· ὑπερύμνητε, ὁ τῶν Πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Αἰνοῦμεν, εὐλογοῦμεν καὶ προσκυνοῦμεν τόν Κύριον.

Ὠδὴ η΄.

Μυστήριον παράδοξον, ἡ Βαβυλῶνος ἔδειξε κάμινος, πηγάσασα δρόσον· ὅτι ρείθροις ἔμελλεν, ἄϋλον πῦρ εἰσδέχεσθαι ὁ Ἰορδάνης, καὶ στέγειν σαρκί, βαπτιζόμενον τὸν Κτίστην· ὅν εὐλογοῦσι λαοί, καὶ ὑπερυψοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

ΔΙΑΚΟΝΟΣ: Τοῦ Κυρίου δεηθῶμεν.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

ΙΕΡΕΥΣ: Ὅτι Ἅγιος εἶ ὁ Θεὸς ἡμῶν, καὶ ἐν Ἁγίοις ἐπαναπαύῃ, καὶ σοὶ τὴν δόξαν ἀναπέμπομεν, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΨΑΛΤΗΣ: Ἀμήν. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον (2). Αἰνεσάτω πνοὴ πᾶσα τὸν Κύριον.

ΑΝΑΓΝΩΣΙΣ ΕΥΑΓΓΕΛΙΟΥ

The pious youths who conversed with one another in the fiery furnace were preserved unharmed by the descent of an angel, and the whistling wind bearing dew. Wherefore, refreshed in the flames, by this, they thankfully sang, "Blessed are You, most praised God of our Fathers."

We praise, we bless and we worship the Lord.

Eighth Ode

A strange mystery was revealed by the Babylonian furnace as it poured forth dew. It was that the streams of the Jordan would receive intangible fire and accept, to be baptized in the flesh, the Creator, whom the people exalt unto ages of ages.

DEACON: Let us pray to the Lord.

CANTOR: Lord, have mercy.

PRIEST: For You, our God, are Holy, and dwell in Your Holy Sanctuary, and to You we offer up glory, to the Father, and to the Son, and to the Holy Spirit, now and always, and forever and ever.

CANTOR: Amen. Let everything that breathes praise the Lord (2). Praise the Lord, everything that breathes.

THE GOSPEL READING

ΔΙΑΚΟΝΟΣ: Καὶ ὑπὲρ τοῦ καταξιωθῆναι ἡμᾶς τῆς ἀκροάσεως τοῦ ἁγίου Εὐαγγελίου, Κύριον τὸν Θεὸν ἡμῶν ἱκετεύσωμεν.

DEACON: That we may be found worthy to hear the Holy Gospel, let us entreat the Lord our God.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον. (3)

CANTOR: Lord, have mercy. (3)

ΔΙΑΚΟΝΟΣ: Σοφία· ὀρθοί, ἀκούσωμεν τοῦ ἁγίου Εὐαγγελίου.

DEACON: Wisdom! Arise! Let us hear the Holy Gospel.

ΙΕΡΕΥΣ: Εἰρήνη πᾶσι.

PRIEST: Peace be to all.

ΨΑΛΤΗΣ: Καὶ τῷ πνεύματί σου.

CANTOR: And to your spirit.

ΙΕΡΕΥΣ: Ἐκ τοῦ κατὰ Ἰωάννην Ἁγίου Εὐαγγελίου τὸ ἀνάγνωσμα.

PRIEST: The reading is from the Holy Gospel according to St. John.

ΔΙΑΚΟΝΟΣ: Πρόσχωμεν.

DEACON: Let us be attentive.

ΨΑΛΤΗΣ: Δόξα Σοι, Κύριε, δόξα Σοι.

CANTOR: Glory to You, O Lord, glory to You.

Η΄ ΕΩΘΙΝΟΝ ΕΥΑΓΓΕΛΙΟΝ

EIGHTH EOTHINON GOSPEL

ΙΕΡΕΥΣ: Τῷ καιρῷ ἐκείνῳ Μαρία εἱστήκει πρὸς τὸ μνημεῖον κλαίουσα ἔξω. Ὡς οὖν ἔκλαιε, παρέκυψεν εἰς τὸ μνημεῖον καὶ θεωρεῖ δύο ἀγγέλους ἐν λευκοῖς καθεζομένους, ἕνα πρὸς τῇ κεφαλῇ καὶ ἕνα πρὸς τοῖς ποσίν, ὅπου ἔκειτο τὸ σῶμα τοῦ Ἰησοῦ. Καὶ λέγουσιν αὐτῇ ἐκεῖνοι· Γύναι, τί κλαίεις; Λέγει αὐτοῖς· Ὅτι ἦραν τὸν Κύριόν μου, καὶ οὐκ οἶδα ποῦ ἔθηκαν αὐτόν. Καὶ ταῦτα εἰποῦσα ἐστράφη εἰς τὰ ὀπίσω καὶ θεωρεῖ τὸν Ἰησοῦν ἑστῶτα, καὶ οὐκ ᾔδει ὅτι ὁ Ἰησοῦς ἐστι. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Γύναι, τί κλαίεις; τίνα ζητεῖς; Ἐκείνη δοκοῦσα ὅτι ὁ

PRIEST: At that time, Mary stood weeping outside the tomb, and as she wept she stooped to look into the tomb; and she saw two angels in white, sitting where the body of Jesus had lain, one at the head and one at the feet. They said to her, "Woman, why are you weeping?" She said to them, "Because they have taken away my Lord, and I do not know where they have laid him." Saying this, she turned round and saw Jesus standing, but she did not know that it was Jesus. Jesus said to her, "Woman, why are you weeping? Whom do you seek?" Supposing him

κηπουρός ἐστι, λέγει αὐτῷ· Κύριε, εἰ σὺ ἐβάστασας αὐτόν, εἰπέ μοι ποῦ ἔθηκας αὐτόν, κἀγώ αὐτὸν ἀρῶ. Λέγει αὐτῇ· ὁ Ἰησοῦς· Μαρία. Στραφεῖσα ἐκείνη, λέγει αὐτῷ· {Ραββουνί, ὅ λέγεται, Διδάσκαλε. Λέγει αὐτῇ ὁ Ἰησοῦς· Μή μου ἅπτου· οὔπω γὰρ ἀναβέβηκα πρὸς τὸν Πατέρα μου· πορεύου δὲ πρὸς τοὺς ἀδελφούς μου καὶ εἰπὲ αὐτοῖς· Ἀναβαίνω πρὸς τὸν Πατέρα μου· καὶ Πατέρα ὑμῶν, καὶ Θεόν μου καὶ Θεὸν ὑμῶν. Ἔρχεται Μαρία ἡ Μαγδαληνὴ ἀπαγγέλλουσα τοῖς μαθηταῖς, ὅτι ἑώρακε τὸν Κύριον, καὶ ταῦτα εἶπεν αὐτῇ.

ΨΑΛΤΗΣ: Δόξα Σοι, Κύριε, δόξα Σοι.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀνάστασιν Χριστοῦ θεασάμενοι, προσκυνήσωμεν ἅγιον, Κύριον Ἰησοῦν, τὸν μόνον ἀναμάρτητον. Τὸν Σταυρόν σου, Χριστέ, προσκυνοῦμεν καὶ τὴν ἁγίαν σου Ἀνάστασιν ὑμνοῦμεν καὶ δοξάζομεν· σὺ γὰρ εἶ Θεὸς ἡμῶν, ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν, τὸ ὄνομά σου ὀνομάζομεν. Δεῦτε πάντες οἱ πιστοί, προσκυνήσωμεν τὴν τοῦ Χριστοῦ ἁγίαν Ἀνάστασιν· ἰδοῦ γὰρ ἦλθε διὰ τοῦ Σταυροῦ χαρὰ ἐν ὅλῳ τῷ κόσμῳ. Διὰ παντὸς εὐλογοῦντες τὸν Κύριον, ὑμνοῦμεν τὴν Ἀνάστασιν αὐτοῦ, Σταυρὸν γὰρ ὑπομείνας δι' ἡμᾶς θανάτῳ θάνατον ὤλεσεν.

ΨΑΛΜΟΣ 50

to be the gardener, she said to him, "Sir, if you have carried him away, tell me where you have laid him, and I will take him away." Jesus said to her, "Mary." She turned and said to him in Hebrew, "Rabboni!" (which means Teacher). Jesus said to her, "Do not hold me, for I have not yet ascended to the Father; but go to my brothers and say to them, I am ascending to my Father, and your Father, to my God and your God." Mary Magdalene went and said to the disciples, "I have seen the Lord;" and she told them that he had said these things to her.

CANTOR: Glory to You, O Lord, glory to You.

READER: Having beheld the Resurrection of Christ, let us worship the holy Lord Jesus, the only sinless One. We venerate Your Cross, O Christ, and Your holy Resurrection we praise and glorify; for You are our God, we know no other; it is Your name we invoke.

Come, all you faithful, let us worship Christ's holy Resurrection; for behold, through the Cross joy has come to all the world. Ever blessing the Lord, let us praise His Resurrection. For in enduring the Cross for us, He destroyed death by death.

PSALM 50 (51)

ΨΑΛΤΗΣ: Ἐλεῆμον ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου·
Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω, καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διὰ παντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν σου ἐποίησα, ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις σου καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι.

Ραντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με, καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.
Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην· ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.
Ἀπόστρεψον τὸ πρόσωπόν σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.
Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοὶ ὁ Θεός, καὶ Πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου σου, καὶ τὸ Πνεῦμά σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ᾽ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καὶ Πνεύματι ἡγεμονικῷ στήριξόν με.

CANTOR: Have mercy on me, O God, in the greatness of your love;
- In the abundance of your tender mercies, wipe out my offense.
- Wash me thoroughly from my iniquity, and cleanse me from my sin,
- For I am well aware of my iniquity, and my sin is before me always.

- It is you alone I have offended: I have done what is evil in your sight,
- Wherefore you are justified in your charges and triumphant in your judgment.
- Behold, I was born in iniquities, and in sins my mother conceived me.
- But you are the lover of truth: You have shown the hidden depths of your wisdom.

- Sprinkle me with hyssop, and I shall be pure; cleanse me, and I shall be whiter than snow.
- Let me hear sounds of joy and feasting: The bones that were afflicted shall rejoice.
- Turn your face away from my offenses, and wipe off all my sins.

- A spotless heart create in me, O God! Renew a steadfast spirit in my breast.

- Cast me not away from your face; take not your blessed Spirit out of me.
- Restore to me the joy of your salvation, and let your guiding Spirit dwell in me.

Διδάξω ἀνόμους τὰς ὁδούς σου, καὶ ἀσεβεῖς ἐπὶ σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου· ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην σου.

- I will teach your ways to the sinner, and the wicked shall return to you.
- Deliver me from blood-guilt, O God, my saving God, and my tongue will joyfully sing your justice.

Κύριε, τὰ χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.

- O Lord, you will open my lips, and my mouth shall declare your praise.
- Had you desired sacrifice, I would have offered it, but you will not be satisfied with whole-burnt offerings.

Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον· καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.

- Sacrifice to God is a contrite spirit: a crushed and humbled heart God will not spurn.

Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἰερουσαλήμ.

- In your kindness, O Lord, be bountiful to Sion; may the walls of Jerusalem be restored.

Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης, ἀναφορὰν καὶ ὁλοκαυτώματα.

- Then will you delight in proper oblation, in sacrifice and whole-burnt offerings.

Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν σου μόσχους· καὶ ἐλέησόν με ὁ Θεός.

- Then shall they offer calves upon your altar, and have mercy on me, O God.

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Glory to the Father, and the Son, and the Holy Spirit.

Ταῖς τῶν Ἀποστόλων πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Through the prayers, O Merciful, of the Apostles, wash away the multitude of my offenses.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμὴν.

Now and always, and forever and ever. Amen.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Through the prayers, O Merciful, of the Theotokos, wash away the multitude of my offenses.

Ἐλεῆμον, ἐλέησόν με, ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου, ἐξάλειψον τὸ ἀνόμημά μου.

- O God, have mercy upon me in the greatness of your love, in the abundance of your tender mercies wipe out my offense.

Ἀναστὰς ὁ Ἰησοῦς ἀπὸ τοῦ τάφου, καθὼς προεῖπεν, ἔδωκεν ἡμῖν τὴν αἰώνιον ζωὴν καὶ μέγα ἔλεος.

Indeed Jesus is risen as He foretold, and He has given us eternal life and abundant mercy.

ΔΙΑΚΟΝΟΣ: Σῶσον, ὁ Θεός, τὸν λαόν σου, καὶ εὐλόγησον τὴν κληρονομίαν σου· ἐπίσκεψαι τὸν κόσμον σου ἐν ἐλέει καὶ οἰκτιρμοῖς· ὕψωσον κέρας χριστιανῶν ὀρθοδόξων καὶ κατάπεμψον ἐφ' ἡμᾶς τὰ ἐλέη σου τὰ πλούσια· πρεσβείαις τῆς Παναχράντου Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας· δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ· προστασίαις τῶν τιμίων, ἐπουρανίων Δυνάμεων ἀσωμάτων· ἱκεσίαις τοῦ τιμίου καὶ ἐνδόξου Προφήτου, Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου· τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων· τῶν ἐν ἁγίοις Πατέρων ἡμῶν, μεγάλων Ἱεραρχῶν καὶ οἰκουμενικῶν διδασκάλων, Βασιλείου τοῦ Μεγάλου, Γρηγορίου τοῦ Θεολόγου καὶ Ἰωάννου τοῦ Χρυσοστόμου· Ἀθανασίου καὶ Κυρίλλου, Ἰωάννου τοῦ Ἐλεήμονος, Πατριαρχῶν Ἀλεξανδρείας, Νικολάου τοῦ ἐν Μύροις, Σπυρίδωνος ἐπισκόπου Τριμυθοῦντος, καὶ Νεκταρίου Πενταπόλεως, τῶν θαυματουργῶν· τῶν ἁγίων ἐνδόξων μεγαλομαρτύρων Γεωργίου τοῦ Τροπαιοφόρου, Δημητρίου τοῦ Μυροβλήτου, Θεοδώρου τοῦ Τήρωνος, Θεοδώρου τοῦ Στρατηλάτου, Μηνᾶ τοῦ

DEACON: O God, save Your people and bless Your inheritance.
Look upon Your world with mercy and compassion. Uplift the strength of Orthodox Christians.
Send down upon us Your abundant mercies;
through the intercessions of our most pure Lady, the Theotokos and ever-virgin Mary; through the power of the precious and life-giving Cross;
through the prayers of the honorable, bodiless heavenly powers; of the honorable, glorious Prophet and Forerunner John the Baptist;
the holy, glorious and praiseworthy Apostles; of our Fathers among the Saints and great ecumenical Teachers and Hierarchs Basil the Great, Gregory the Theologian, and John Chrysostom;
Athanasios and Cyril, John the Merciful, Patriarchs of Alexandria;
Nicholas of Myra, Spyridon of Trymythous and Nectarios of Pentapolis the Wonder Workers; the holy, glorious, great martyrs George the Standard Bearer, Demetrios the Myroblete, Theodore of Tyre and Theodore the Commander, Menas

θαυματουργοῦ, τῶν ἱερομαρτύρων Χαραλάμπους καὶ Ἐλευθερίου· τῶν ἁγίων ἐνδόξων, μεγάλων μαρτύρων Θέκλας, Βαρβάρας, Ἀναστασίας, Αἰκατερίνης, Κυριακῆς, Φωτεινῆς, Μαρίνης, Παρασκευῆς καὶ Εἰρήνης· τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων· τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν τῶν ἐν ἀσκήσει λαμψάντων· *(τοῦ Ἁγίου τοῦ Ναοῦ)*· τῶν ἁγίων καὶ δικαίων Θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, τῶν ἑβδομήκοντα Ἀποστόλων ὧν καὶ τὴν Ἁγίαν Σύναξιν ἑορτάζομεν, καὶ Θεοκτίστου τοῦ ὁσίου οὗ καὶ τὴν μνήμην ἐπιτελοῦμεν· καὶ πάντων σου τῶν ἁγίων· ἱκετεύομέν σε, μόνε πολυέλεε Κύριε, ἐπάκουσον ἡμῶν τῶν ἁμαρτωλῶν δεομένων σου καὶ ἐλέησον ἡμᾶς.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον. (12)

ΙΕΡΕΥΣ: Ἐλέει, καὶ οἰκτιρμοῖς, καὶ φιλανθρωπίᾳ τοῦ Μονογενοῦς σου Υἱοῦ, μεθ᾽οὗ εὐλογητὸς εἶ, σὺν τῷ παναγίῳ καὶ ἀγαθῷ καὶ ζωοποιῷ σου Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΨΑΛΤΗΣ: Ἀμήν.

ΔΙΑΚΟΝΟΣ: Τὴν Θεοτόκον καὶ Μητέρα τοῦ Φωτός, ἐν ὕμνοις τιμῶντες μεγαλύνωμεν.

ΨΑΛΤΗΣ: *Μεγαλύνει ἡ ψυχή μου, τὸν Κύριον καὶ ἠγαλλίασε τὸ πνεῦμά μου ἐπὶ τῷ Θεῷ τῷ σωτῆρί μου.*

the Wonder Worker; Eleftherios and Haralambos the holy priest-martyrs; of the holy, glorious, great martyrs, Thekla, Barbara, Anastasia, Katherine, Kyriaki, Fotini, Marina, Paraskevi and Irene; of the holy, glorious and victorious Martyrs;of our venerable and godly ascetic Fathers; *(the patron of the parish is now commemorated);* of the holy and righteous Ancestors of God, Joachim and Anna, of the Seventy Apostles whose Synaxis we celebrate today; Theoktistos the Venerable, whose memory we keep today, and of all Your saints.
We beseech You, the only, most merciful Lord, listen to us sinners who pray to You, and have mercy on us.

CANTOR: Lord, have mercy. (12)

PRIEST: Through the mercy and compassion and love for mankind of Your only-begotten Son, with whom You are blessed, together with Your holy, good and life-giving Spirit, now and always, and forever and ever.

CANTOR: Amen.

DEACON: Honoring her with hymns, let us magnify the Theotokos, the Mother of Light.

CANTOR: *My soul magnifies the Lord, and my spirit rejoices in God, my Savior.*

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

-More honored than the Cherubim, and more glorious beyond compare than the Seraphim, in purity you gave birth to God the Logos. Truly you are the Mother of God: you do we magnify.

Ὅτι ἐπέβλεψεν ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης αὐτοῦ ἰδοὺ γὰρ ἀπὸ τοῦ νῦν μακαριοῦσί με πᾶσαι αἱ γενεαί.

Because He has regarded the humility of His handmaid: behold, henceforth all generations shall call me blessed.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν.

-More honored than the Cherubim, and more glorious beyond compare than the Seraphim, in purity you gave birth to God the Logos. Truly you are the Mother of God: you do we magnify.

Ὅτι ἐποίησέ μοι μεγαλεῖα ὁ δυνατός, καὶ ἅγιον τὸ ὄνομα αὐτοῦ καὶ τὸ ἔλεος αὐτοῦ εἰς γενεὰν καὶ γενεὰν τοῖς φοβουμένοις αὐτόν.

Because He who is mighty has done me great things; and Holy is His name; and His mercy is from generation to generation to those who fear Him.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

-More honored than the Cherubim, and more glorious beyond compare than the Seraphim, in purity you gave birth to God the Logos. Truly you are the Mother of God: you do we magnify.

Ἐποίησε κράτος ἐν βραχίονι αὐτοῦ, διεσκόρπισεν ὑπερηφάνους διανοίᾳ καρδίας αὐτῶν.

He has shown might in His arm: He has scattered the proud in the mind of their heart.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

-More honored than the Cherubim, and more glorious beyond compare than the Seraphim, in purity you gave birth to God the Logos. Truly you are the Mother of God: you do we magnify.

Καθεῖλε δυνάστας ἀπὸ θρόνων καὶ ὕψωσε ταπεινούς, πεινῶντας ἐνέπλησεν ἀγαθῶν καὶ πλουτοῦντας ἐξαπέστειλε κενούς.

He has taken down the mighty from their thrones and has exalted the humble. He has filled the hungry with good things, and the rich he has sent away empty.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Ἀντελάβετο Ἰσραὴλ παιδὸς αὐτοῦ μνησθῆναι ἐλέους, καθὼς ἐλάλησε πρὸς τοὺς πατέρας ἡμῶν, τῷ Ἀβραὰμ καὶ τῷ σπέρματι αὐτοῦ ἕως αἰῶνος.

Τὴν τιμιωτέραν τῶν Χερουβὶμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφὶμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

-More honored than the Cherubim, and more glorious beyond compare than the Seraphim, in purity you gave birth to God the Logos. Truly you are the Mother of God: you do we magnify.

He has aided Israel His servant, being mindful of His mercy. As He spoke to our Fathers: to Abraham and to his seed forever.

-More honored than the Cherubim, and more glorious beyond compare than the Seraphim, in purity you gave birth to God the Logos. Truly you are the Mother of God: you do we magnify.

θ΄ Ὠδή

Μεγάλυνον, ψυχή μου, τὴν τιμιωτέραν καὶ ἐνδοξοτέραν τῶν ἄνω στρατευμάτων.

Ἀπορεῖ πᾶσα γλῶσσα, εὐφημεῖν πρὸς ἀξίαν· ἰλιγγιᾷ δὲ νοῦς καὶ ὑπερκόσμιος, ὑμνεῖν σε Θεοτόκε· ὅμως ἀγαθὴ ὑπάρχουσα, τὴν πίστιν δέχου· καὶ γὰρ τὸν πόθον οἶδας, τὸν ἔνθεον ἡμῶν· σὺ γὰρ Χριστιανῶν εἶ προστάτις, σὲ μεγαλύνομεν.

Ninth Ode

My soul, magnify her who is more honorable and more glorious than the heavenly host.

How do we offer you worthy praise? Every tongue is at a loss. Even minds that transcend this world are bewildered as to your praise, O Theotokos. Accept our faith, for you are good. You know well our godly hopes. You are the Protector of Christians, and we magnify you.

ΔΙΑΚΟΝΟΣ: Ἔτι καὶ ἔτι, ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

DEACON: Again in peace, let us pray to the Lord.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

CANTOR: Lord, have mercy.

ΔΙΑΚΟΝΟΣ: Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

DEACON: Help us, save us, have mercy on us, and keep us, O God, in Your grace.

ΨΑΛΤΗΣ: Κύριε, ἐλέησον.

ΔΙΑΚΟΝΟΣ: Τῆς παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν, Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους, καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΨΑΛΤΗΣ: Σοί, Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι σὲ αἰνοῦσι πᾶσαι αἱ Δυνάμεις τῶν οὐρανῶν, καὶ σοὶ τὴν δόξαν ἀναπέμπουσι, τῷ Πατρί, καὶ τῷ Υἱῷ, καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΨΑΛΤΗΣ: Ἀμήν.

ΨΑΛΤΗΣ: Ἅγιος Κύριος ὁ Θεὸς ἡμῶν. (2)

Ὑψοῦτε Κύριον τὸν Θεὸν ἡμῶν καὶ προσκυνεῖτε τῷ ὑποποδίῳ τῶν ποδῶν αὐτοῦ, ὅτι ἅγιός ἐστι.

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ

Η΄

Δύο ἀγγέλους βλέψασα ἔνδοθεν τοῦ μνημείου, Μαρία ἐξεπλήττετο καὶ Χριστὸν ἀγνοοῦσα ὡς κηπουρὸν ἐπηρώτα· Κύριε, ποῦ τὸ σῶμα τοῦ Ἰησοῦ μου τέθεικας· κλήσει δὲ τοῦτον γνοῦσα εἶναι αὐτόν, τὸν Σωτῆρα ἤκουσε· Μή μου ἅπτου· πρὸς τὸν Πατέρα ἄπειμι, εἰπὲ τοῖς ἀδελφοῖς μου.

CANTOR: Lord, have mercy.

DEACON: Remembering our most holy, pure, blessed, and glorious Lady, the Theotokos and ever-virgin Mary, with all the Saints, let us commend ourselves and one another, and our whole life to Christ our God.

CANTOR: To You, O Lord.

PRIEST: For all the heavenly powers praise You, and offer up glory to You, to the Father, and to the Son, and to the Holy Spirit, now and always, and forever and ever.

CANTOR: Amen.

CANTOR: Holy is the Lord our God. (2)

Exalt the Lord our God and worship at His footstool, for Holy is He.

EXAPOSTILARION

Eighth

Mary beheld two angels within the tomb, and was struck with awe. She did not recognize Christ. Thinking Him to be the gardener, she asked, "Sir, where have you placed the body of my Jesus?" She knew by His voice He was the Savior, when He said, "Do not touch me! Tell my brethren I go to my Father."

ΕΞΑΠΟΣΤΕΙΛΑΡΙΟΝ ΕΟΡΤΗΣ
Ἦχος β΄. Γυναῖκες ἀκουτίσθητε.

Πῶς ῥεῖθρά σε ποτάμια, εἰσδέξονται Φιλάνθρωπε, τὸν ποταμοὺς καὶ θαλάσσας, ποιήσαντα ἐκ μὴ ὄντων; Πῶς κορυφὴν τὴν ἄχραντον, τὴν σὴν τολμήσει Πρόδρομος, χειροθετῆσαι Δέσποτα; Ὑμνοῦμεν φρίττοντες Λόγε, τῆς σῆς πτωχείας τὸ ὕψος.

FESTAL EXAPOSTILARION
Second tone

O Loving One, how shall the river's flow receive You, who out of nothing created the rivers and the seas? How, O Master, shall the Forerunner make bold to lay his hand upon Your immaculate head? It is with trembling, O Logos, that we praise the greatness of Your humility.

ΟΙ ΑΙΝΟΙ

ΨΑΛΤΗΣ: Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον. Αἰνεῖτε τὸν Κύριον ἐκ τῶν οὐρανῶν· αἰνεῖτε αὐτὸν ἐν τοῖς ὑψίστοις. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Αἰνεῖτε αὐτὸν πάντες οἱ Ἄγγελοι αὐτοῦ· αἰνεῖτε αὐτὸν, πᾶσαι αἱ δυνάμεις αὐτοῦ. Σοὶ πρέπει ὕμνος τῷ Θεῷ.

Τοῦ ποιῆσαι ἐν αὐτοῖς κρῖμα ἔγγραπτον· δόξα αὕτη ἔσται πᾶσι τοῖς ὁσίοις αὐτοῦ.

Ἦχος πλ. α΄

Κύριε, ἐσφραγισμένου τοῦ τάφου ὑπὸ τῶν παρανόμων, προῆλθες ἐκ τοῦ μνήματος, καθὼς ἐτέχθης ἐκ τῆς Θεοτόκου· οὐκ ἔγνωσαν πῶς ἐσαρκώθης, οἱ ἀσώματοί σου ἄγγελοι· οὐκ ἤσθοντο πότε ἀνέστης οἱ φυλάσσοντές σε στρατιῶται· ἀμφότερα γὰρ ἐσφράγισται τοῖς ἐρευνῶσι· πεφανέρωται δὲ τὰ θαύματα, τοῖς προσκυνοῦσιν ἐν πίστει τὸ μυστήριον, ὃ ἀνυμνοῦσιν, ἀπόδος ἡμῖν ἀγαλλίασιν καὶ τὸ μέγα ἔλεος.

THE LAUDS

CANTOR: Let everything that breathes praise the Lord. Praise the Lord from the heavens, praise Him in the heights. To You, O God, praise is due.

Praise Him, all you His angels; praise Him, all you His hosts. To You, O God, praise is due.

To execute on them the written judgment: this is glory for all his faithful.

Fifth tone

O Lord, You came forth from the tomb after it was sealed by the transgressors, as You had come forth from the Virgin. Your bodiless angels knew not how You became incarnate. The soldiers guarding Your body were unaware of when You arose. These were both kept secret from those seeking knowledge of them. These miracles were revealed to those who in faith worship the mystery we praise. Grant us, therefore, joy and great mercy.

Αἰνεῖτε τὸν Θεὸν ἐν τοῖς ἁγίοις αὐτοῦ· αἰνεῖτε αὐτὸν ἐν στερεώματι τῆς δυνάμεως αὐτοῦ.

Praise the Lord in his holy places, praise him in the firmament of his strength!

Κύριε, τοὺς μοχλοὺς τοὺς αἰωνίους συντρίψας καὶ δεσμὰ διαῤῥήξας, τοῦ μνήματος ἀνέστης, καταλιπών σου τὰ ἐντάφια, εἰς μαρτύριον τῆς ἀληθοῦς τριημέρου ταφῆς σου, καὶ προῆγες ἐν τῇ Γαλιλαίᾳ, ὁ ἐν σπηλαίῳ τηρούμενος. Μέγα σου τὸ ἔλεος, ἀκατάληπτε Σωτήρ! ἐλέησον ἡμᾶς.

Lord, You broke the eternal chains and destroyed the bonds of the tomb. In witness of Your true Resurrection on the third day, You left behind Your burial raiment. You, upon whom they kept watch in a cave, went on ahead into Galilee. Great is Your mercy. Have mercy on us, O Incomprehensible Savior.

Αἰνεῖτε αὐτὸν ἐπὶ ταῖς δυναστείαις αὐτοῦ· αἰνεῖτε αὐτὸν κατὰ τὸ πλῆθος τῆς μεγαλωσύνης αὐτοῦ.

Praise him for his mighty deeds, praise him for the fullness of his majesty!

Κύριε, αἱ γυναῖκες ἔδραμον ἐπὶ τὸ μνῆμα, τοῦ ἰδεῖν σε τὸν Χριστόν, τὸν δι᾽ ἡμᾶς παθόντα· καὶ προσελθοῦσαι, εὗρον ἄγγελον ἐπὶ τὸν λίθον καθήμενον, τῷ φόβῳ κυλισθέντα, καὶ πρὸς αὐτὰς ἐβόησε λέγων· Ἀνέστη ὁ Κύριος· εἴπατε τοῖς μαθηταῖς, ὅτι ἀνέστη ἐκ νεκρῶν ὁ σώζων τὰς ψυχὰς ἡμῶν.

The women hastened to the tomb to see You, the Christ, who suffered for our sake. When they arrived, they found an angel there, seated upon a stone. As they recoiled in fear, he cried out to them, "The Lord is risen. Tell the disciples that the Savior of our souls is risen."

Αἰνεῖτε αὐτὸν ἐν ἤχῳ σάλπιγγος αἰνεῖτε αὐτὸν ἐν ψαλτηρίῳ καὶ κιθάρᾳ.

Praise him with the sound of the trumpet, praise him with the harp and the lyre!

Κύριε, ὥσπερ ἐξῆλθες ἐσφραγισμένου τοῦ τάφου, οὕτως εἰσῆλθες καὶ τῶν θυρῶν κεκλεισμένων πρὸς τοὺς μαθητάς σου, δεικνύων αὐτοῖς τὰ τοῦ σώματος πάθη, ἅπερ κατεδέξω, Σωτήρ, μακροθυμήσας. Ὡς ἐκ σπέρματος Δαυΐδ, μώλωπας ὑπήνεγκας, ὡς Υἱὸς δὲ τοῦ Θεοῦ, κόσμον ἠλευθέρωσας. Μέγα σου τὸ ἔλεος! ἀκατάληπτε Σωτήρ, ἐλέησον ἡμᾶς.

Lord, You entered through closed doors to Your disciples in the same manner that You came from within the sealed tomb. O Savior, in forbearance You showed them the marks upon Your flesh of the Passion You endured. As a descendant of David, You submitted to wounds; as Son of God, You freed the world. Great is Your mercy, Incomprehensible Savior, have mercy upon us.

Αἰνεῖτε αὐτὸν ἐν τυμπάνῳ καὶ χορῷ· αἰνεῖτε αὐτὸν ἐν χορδαῖς καὶ ὀργάνῳ.

Praise him with timbrel and dance, praise him with strings and pipe!

Ἦχος πλ. β΄

Sixth tone

Αἱ Ἀγγελικαὶ, προπορεύεσθε Δυνάμεις, ἐκ τῆς Βηθλεέμ, πρὸς τὰ ῥεῖθρα Ἰορδάνου. Προέρχου Ἰωάννη, καταλείψας τὴν ἔρημον. Χαῖρε, Ποταμὲ, καὶ εὐτρεπίζου. Πᾶσα δὲ γῆ ἀγαλλιάσθω. Χριστὸς ἔρχεται, τὴν ἁμαρτίαν τοῦ Ἀδὰμ, καθᾶραι ὡς εὔσπλαγχνος.

O Angelic Hosts, go forth from Bethlehem, to the streams of the Jordan. O John, come, forsake the wilderness. O rivers, rejoice and prepare. Let all the earth rejoice. Christ, as the compassionate One, is coming to cleanse the sin of Adam.

Αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις εὐήχοις αἰνεῖτε αὐτὸν ἐν κυμβάλοις ἀλαλαγμοῦ. Πᾶσα πνοὴ αἰνεσάτω τὸν Κύριον.

Praise him with resounding cymbals, praise him with cymbals of triumph! Let everything that breathes praise the Lord!

Στόμασιν ἁγνοῖς, καὶ ψυχαῖς κεκαθαρμέναις, δεῦτε μυστικῶς, Βηθλεὲμ μεταχωροῦντες, καὶ πρὸς τὸν Ἰορδάνην, σὺν Χριστῷ ἐπειγόμενοι, ᾄσωμεν αὐτῷ μετ᾽ εὐφροσύνης, αἱ πατριαὶ τῆς γῆς νῦν πᾶσαι, πιστῶς λέγουσαι· Εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι.

Come, let us mystically leave Bethlehem, and with pure lips and cleansed souls go with Christ to the Jordan. Let us praise Him with gladness. Let all the nations of the earth now say with faith, "Blessed is our God who has come. Glory to You."

Διὰ τοῦτο μνησθήσομαί σου ἐκ γῆς Ἰορδάνου καὶ Ἑρμωνιείμ, ἀπὸ ὄρος μικροῦ.

I remembered you from the land of Jordan and of Hermon, from the hill Mizar.

Μέγα καὶ φρικτόν, τὸ μυστήριον ὑπάρχει! Ὅτι ὁ Θεός, τοῖς ἀνθρώποις ὡμοιώθη, καὶ ἁμαρτίαν ὅλως, μὴ εἰδὼς ὁ ἀνεύθυνος, ὑπὸ Ἰωάννου βαπτισθῆναι, ἐν ποταμῷ τῷ Ἰορδάνῃ, αἰτεῖ σήμερον. Εὐλογημένος ὁ φανείς, Θεὸς ἡμῶν δόξα σοι.

This is a great and awesome mystery. God has become like man and, though blameless and without experiencing any sin whatever, He asks of John to be baptized today in the River Jordan. Blessed is our God who has appeared to us. Glory to You.

Εἴδοσάν σε ὕδατα ὁ Θεός, εἴδοσάν σε ὕδατα καὶ ἐφοβήθησαν.

The waters saw you, O God, the waters saw you and shuddered.

Ἄνθος ἐκ Δαυὶδ, ἀνατείλας τῆς Παρθένου, ἦλθεν ὁ Χριστὸς πρὸς τὰ ῥεῖθρα Ἰορδάνου, τὰς ἁμαρτίας πλῦναι τοῦ Προπάτορος ὕδασι. Χόρευσον Ἀδάμ· εὐφραίνου Εὔα· ὁ οὐρανὸς ἀγαλλιάσθω· λαοὶ εἴπωμεν· Εὐλογημένος ὁ ἐλθών, Θεὸς ἡμῶν δόξα σοι.

Christ, rising from the Virgin as a flower from the seed of David, came to wash away the sins of our forefather Adam in the streams of the Jordan. Let Adam rejoice. Let Eve exult. Let Heaven be glad. Let all people say, "Blessed is our God who has come. Glory to You."

ΔΟΞΑΣΤΙΚΟΝ

DOXASTIKON (PROPER)

Δόξα Πατρί, καὶ Υἱῷ, καὶ Ἁγίῳ Πνεύματι.

Glory to the Father, and the Son, and the Holy Spirit.

Η΄.
Ἦχος πλ. δ΄

Eighth Eothinon
Eighth tone

Τὰ τῆς Μαρίας δάκρυα οὐ μάτην χεῖνται θερμῶς ἰδοὺ γὰρ κατηξίωται καὶ διδασκόντων ἀγγέλων καὶ τῆς ὄψεως τῆς σῆς, ὦ Ἰησοῦ. Ἀλλ᾽ἔτι πρόσγεια φρονεῖ, οἷα γυνὴ ἀσθενής διό καὶ ἀποπέμπεται μή προσψαῦσοι σοι Χριστέ. Ἀλλ᾽ὅμως κήρυξ πέμπεται τοῖς σοῖς μαθηταῖς, οἷς εὐαγγέλια ἔφησε τὴν πρὸς τὸν πατρῷον κλῆρον ἄνοδον ἀπαγγέλουσα. Μεθ᾽ἧς ἀξίωσον καὶ ἡμᾶς τῆς ἐμφανείας σου, Δέσποτα Κύριε.

The fervent tears of Mary were not shed in vain. For thus, she became worthy to learn from angels and to look upon Your countenance, O Jesus. Yet, like a weak person, she had her mind on earthly things. Therefore, she was sent away, unable to touch You, O Christ. And yet, she was sent as a herald to Your disciples to whom she proclaimed the glad tidings of Your ascent to the heavens. Deem us worthy, O Lord, that we may witness with her Your manifestation.

Καὶ νῦν καὶ ἀεί, καὶ εἰς τούς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Now and always, and forever and ever. Amen.

Ὑπερευλογημένη ὑπάρχεις, Θεοτόκε Παρθένε· διὰ γὰρ τοῦ ἐκ σοῦ σαρκωθέντος, ὁ Ἅδης ἠχμαλώτισται, ὁ Ἀδὰμ ἀνακέκληται, ἡ κατάρα νενέκρωται, ἡ Εὔα ἠλευθέρωται, ὁ θάνατος τεθανάτωται καὶ ἡμεῖς ἐζωοποιήθημεν. Διὸ ἀνυμνοῦντες

You are greatly blessed, O Virgin Theotokos, for Hades has been taken captive by Him who was born of you. Adam was brought back, the curse was abolished, Eve was delivered, death was put to death, and we were given life anew. In praise, we cry aloud, "Blessed are You,

βοῶμεν· Εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν, ὁ οὕτως εὐδοκήσας, δόξα σοι.

ΔΟΞΟΛΟΓΙΑ (Ἴδετε σελ. 664)

O Christ our God, who have shown Your good pleasure. Glory to You."

DOXOLOGY (see page 664)